This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

828.43
W61

9 s/.
888.4J
G61

9¾/.
888.4J
661

PLATONIS
OPERA.

CUM SCHOLIIS A RUHNKENIO
COLLECTIS
AD
OPTIMORUM LIBRORUM FIDEM
ACCURATE EDITA.

EDITIO STEREOTYPA.

TOMUS VII.

Insunt: *Timaeus, Timaei Locri de anima mundi, Critias, Parmenides et Symposion.*

THE
[illegible]
LIBRARY.

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1829.

Ladenpreis 8 Groschen.

LELAND STANFORD JUNIOR
LIBRARY
UNIVERSITY.

A. 32047.

ΤΙΜΑΙΟΣ
Η
ΠΕΡΙ ΦΥΣΕΩΣ.

ΤΑ ΤΟΥ

ΔΙΑΛΟΓΟΥ ΤΙΜΑΙΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΙΑΣ, ΤΙΜΑΙΟΣ, ΕΡΜΟΚΡΑΤΗΣ.

Εἷς, δύο, τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τανῦν δ' ἑστιατόρων; ΤΙ. Ἀσθένειά τις αὐτῷ συνέπεσεν, ὦ Σώκρατες. οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς ξυνουσίας. ΣΩ. Οὐκοῦν σὸν τῶνδέ τε ἔργον, καὶ τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος. ΤΙ. Πάνυ μὲν οὖν· καὶ κατὰ δύναμίν γε οὐδὲν ἐλλείψομεν. οὐδὲ γὰρ ἂν εἴη δίκαιον, χθὲς ὑπὸ σοῦ ξενισθέντας οἷς ἦν πρέπον ξενίοις, μὴ οὐ προθύμως σὲ τοὺς λοιποὺς ἡμῶν ἀντεφεστιᾷν. ΣΩ. Ἆρ' οὖν μέμνησθε ὅσα ὑμῖν καὶ περὶ ὧν ἐπέταξα εἰπεῖν; ΤΙ. Τὰ μὲν μεμνήμεθα· ὅσα δὲ μή, σὺ παρὼν ὑπομνήσεις. μᾶλλον δὲ

LELAND STANFORD JUNIOR
LIBRARY
UNIVERSITY.

A.32047.

ΤΙΜΑΙΟΣ
Η
ΠΕΡΙ ΦΥΣΕΩΣ.

ΤΑ ΤΟΥ
ΔΙΑΛΟΓΟΥ ΤΙΜΑΙΟΥ ΠΡΟΣΩΠΑ
ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΙΑΣ, ΤΙΜΑΙΟΣ,
ΕΡΜΟΚΡΑΤΗΣ.

Εις, δύο, τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τανῦν δ᾽ ἑστιατόρων; ΤΙ. Ἀσθένειά τις αὐτῷ συνέπεσεν, ὦ Σώκρατες. οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς ξυνουσίας. ΣΩ. Οὐκοῦν σὸν τῶνδέ τε ἔργον, καὶ τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος. ΤΙ. Πάνυ μὲν οὖν· καὶ κατὰ δύναμίν γε οὐδὲν ἐλλείψομεν. οὐδὲ γὰρ ἂν εἴη δίκαιον, χθὲς ὑπὸ σοῦ ξενισθέντας οἷς ἦν πρέπον ξενίοις, μὴ οὐ προθύμως σὲ τοὺς λοιποὺς ἡμῶν ἀντεφεστιᾷν. ΣΩ. Ἆρ᾽ οὖν μέμνησθε ὅσα ὑμῖν καὶ περὶ ὧν ἐπέταξα εἰπεῖν; ΤΙ. Τὰ μὲν μεμνήμεθα· ὅσα δὲ μή, σὺ παρὼν ὑπομνήσεις. μᾶλλον δὲ

εἰ μή τι σοὶ χαλεπὸν, ἐξ ἀρχῆς διὰ βραχέων πάλιν ἐπάνελθε αὐτά· ἵνα βεβαιωθῇ μᾶλλον παρ' ἡμῖν. ΣΩ. Ταῦτ' ἔσται. χθές που τῶν ὑπ' ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας, ἦν τὸ κεφάλαιον, οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετ' ἄν μοι γενέσθαι. ΤΙ. Καὶ μάλα γε ἡμῖν, ὦ Σώκρατες, ῥηθεῖσα πᾶσι κατὰ νοῦν. ΣΩ. Ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν, ὅσαι τε ἄλλαι τέχναι, πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων; ΤΙ. Ναί. ΣΩ. Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον, ἓν μόνον ἐπιτήδευμα ἑκάστῃ τέχνῃ, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν εἴπομεν· ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως· εἴτέ τις ἔξωθεν ἢ καὶ τῶν ἔνδον ἴοι κακουργήσων, δικάζοντας μὲν πρᾳέως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν, ἅτε φύσει φίλοις οὖσι, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους. ΤΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Φύσιν γάρ οἶμαι τινὰ τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν, ἅμα μὲν, θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως· ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾷοι καὶ χαλεποὶ γίγνεσθαι. ΤΙ. Ναί. ΣΩ. Τί δαὶ τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ, μαθήμασί τε ὅσοις προσήκει, τούτοις ἐν ἅπασι τεθράφθαι; ΤΙ. Πάνυ μὲν οὖν. ΣΩ. Τοὺς δέ γε οὕτω τραφέντας ἐλέχθη που μήτε χρυσὸν, μήτε ἄργυρον, μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος

ἀναλίσκειν τε δὴ κοινῇ, καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν· ἐπιμέλειαν ἔχοντας ἀρετῆς διαπαντὸς, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν. ΤΙ. Ἐλέχθη καὶ ταῦτα ταύτῃ. ΣΩ. Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον, καὶ τὰ τῶν ἐπιτηδευμάτων πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις. ΤΙ. Ταύτῃ καὶ ταῦτα ἐλέγετο. ΣΩ. Τί δὲ τὸ περὶ παιδοποιΐας; ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων ἐτίθεμεν, μηχανώμενοι ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῷ, ἰδίᾳ γνώσαιτο, νομίσωσι δὲ πάντες πάντας αὐτοὺς ὁμογενεῖς· ἀδελφὰς μὲν καὶ ἀδελφοὺς, ὅσοιπερ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται· τοὺς δ' ἔμπροσθεν καὶ ἄνωθεν, γονέας τε καὶ γονέων προγόνους· τοὺς δὲ εἰς τὸ κάτωθεν, ἐκγόνους τε καὶ παῖδας ἐκγόνων. ΤΙ. Ναὶ καὶ ταῦτα εὐμνημόνευτα ᾗ λέγεις. ΣΩ. Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρα μηχανᾶσθαι κλήροις τισὶν, ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι ξυλλέξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς ξυλλέξεως; ΤΙ. Μεμνήμεθα. ΣΩ. Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι, τὰ δὲ τῶν φαύλων, εἰς τὴν ἄλλην λάθρα διαδοτέον πόλιν; ἐπαυξομένων δὲ, σκοποῦντας ἀεὶ

τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν; τοὺς δὲ παρὰ σφίσιν ἀναξίους, εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν; ΤΙ. Οὕτω. ΣΩ. Ἆρ' οὖν διεληλύθαμεν ἤδη, καθάπερ χθὲς, ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν; ἢ ποθοίης ἔτι, τῶν ῥηθέντων, ὦ φίλε Τίμαιε, ἀπολειπόμενον; ΤΙ. Οὐδαμῶς· ἀλλ' αὐτὰ ταῦτ' ἦν τὰ λεχθέντα, ὦ Σώκρατες. ΣΩ. Ἀκούοιτ' ἂν ἤδη τὰ μετὰ ταῦτα περὶ τῆς πολιτείας ἣν διήλθομεν, οἷόν τι πρὸς αὐτὴν πεπονθὼς τυγχάνω. προσέοικε δὲ δή τινί μοι τοιῷδε τὸ πάθος, οἷον εἴτις ζῶα καλά που θεασάμενος, εἴτε ὑπὸ γραφῆς εἰργασμένα, εἴτε καὶ ζῶντα ἀληθινῶς, ἡσυχίαν δὲ ἄγοντα, εἰς ἐπιθυμίαν ἀφίκοιτο θεάσασθαι κινούμενά τε αὐτὰ, καί τι τῶν τοῖς σώμασι δοκούντων προσήκειν κατὰ τὴν ἀγωνίαν ἀθλοῦντα. ταὐτὸν καὶ ἐγὼ πέπονθα πρὸς τὴν πόλιν ἣν διήλθομεν. ἡδέως γὰρ ἄν του λόγῳ διεξιόντος ἀκούσαιμ' ἂν, ἄθλους οὓς πόλις ἀθλεῖ, τούτους αὐτὴν ἀγωνιζομένην πρὸς πόλεις ἄλλας, πρεπόντως εἰς πόλεμον ἀφικομένην· καὶ ἐν τῷ πολεμεῖν τὰ προσήκοντα ἀποδιδοῦσαν τῇ παιδείᾳ καὶ τροφῇ, κατά τε τὰς ἐν τοῖς ἔργοις πράξεις, καὶ κατὰ τὰς ἐν τοῖς λόγοις διερμηνεύσεις πρὸς ἑκάστας τῶν πόλεων. ταῦτ' οὖν, ὦ Κριτία καὶ Ἑρμόκρατες, ἐμαυτοῦ μὲν αὐτὸς κατέγνωκα μήποτ' ἂν δυνατὸς γενέσθαι τοὺς ἄνδρας καὶ τὴν πόλιν ἱκανῶς ἐγκωμιάσαι. καὶ τὸ μὲν ἐμὸν, οὐδὲν θαυμαστόν· ἀλλὰ τὴν αὐτὴν δόξαν εἴληφα καὶ περὶ τῶν πάλαι γεγονότων καὶ τῶν νῦν ὄντων ποιητῶν, οὔτι τὸ ποιητικὸν ἀτιμάζων γένος, ἀλλὰ παντὶ δῆλον ὡς τὸ μιμητικὸν ἔθνος, οἷς ἂν ἐντραφῇ,

ταῦτα μιμήσεται ῥᾷστα καὶ ἄριστα· τὸ δ' ἐκτὸς τῆς τροφῆς ἑκάστης γιγνόμενον, χαλεπὸν μὲν ἔργοις, ἔτι δὲ χαλεπώτερον λόγοις εὖ μιμεῖσθαι. τὸ δὲ τῶν σοφιστῶν γένος αὖ, πολλῶν μὲν λόγων καὶ καλῶν μάλα ἔμπειρον ἥγημαι· φοβοῦμαι δὲ μήπως (ἅτε πλανητὸν ὂν κατὰ πόλεις, οἰκήσεις τε ἰδίας οὐδαμῇ διῳκηκὸς) ἄστοχον ἅμα καὶ φιλοσόφων ἀνδρῶν ᾖ καὶ πολιτικῶν, ὅσα ἂν οἷά τε ἐν πολέμῳ καὶ μάχαις πράττοντες, ἔργῳ καὶ λόγῳ προσομιλοῦντες ἑκάστοις, πράττοιεν καὶ λέγοιεν. καταλέλειπται δὴ τὸ τῆς ἡμετέρας ἕξεως γένος, ἅμα ἀμφοτέρων φύσει καὶ τροφῇ μετέχον. Τίμαιός τε γὰρ ὅδε, εὐνομωτάτης ὢν πόλεως τῆς ἐν Ἰταλίᾳ Λοκρίδος, οὐσίᾳ καὶ γένει οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ, τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς ἐν τῇ πόλει μετακεχείρισται, φιλοσοφίας δ' αὖ κατ' ἐμὴν δόξαν ἐπ' ἄκρον ἁπάσης ἐλήλυθε. Κριτίαν δέ που πάντες οἱ τῇδ' ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν· τῆς δ' Ἑρμοκράτους αὖ πέρι φύσεως καὶ τροφῆς, πρὸς ἅπαντα εἶναι ταῦτα ἱκανῆς, πολλῶν μαρτυρούντων, πιστευτέον. διὸ καὶ χθὲς ἐγὼ διανοούμενος ὑμῶν δεομένων τὰ περὶ τῆς πολιτείας διελθεῖν, προθύμως ἐχαριζόμην· εἰδὼς ὅτι τὸν ἑξῆς λόγον οὐδένες ἄν, ὑμῶν ἐθελόντων, ἱκανώτερον ἀποδοῖεν. εἰς γὰρ πόλεμον πρέποντα καταστήσαντες τὴν πόλιν, πάντ' αὐτῇ τὰ προσήκοντα ἀποδοῖτ' ἂν μόνοι τῶν νῦν. εἰπὼν δὴ τὰ ἐπιταχθέντα, ἀντεπέταξα ὑμῖν ἃ καὶ νῦν λέγω. ξυνομολογήσατ' οὖν κοινῇ σκεψάμενοι πρὸς ὑμᾶς αὐτούς, εἰς νῦν ἀνταποδώσειν μοι τὰ τῶν λόγων ξένια. πάρειμί τε οὖν δὴ κεκοσμη-

μένος ἐπ᾽ αὐτά, καὶ πάντων ἑτοιμότατος δέχεσθαι. ΕΡ. Καὶ μὲν δὴ (καθάπερ εἶπε Τίμαιος ὅδε, ὦ Σώκρατες) οὔτε ἐλλείψομεν προθυμίας οὐδέν, οὔτ᾽ ἔστιν οὐδεμία πρόφασις ἡμῖν τοῦ μὴ δρᾷν ταῦτα. ὥστε καὶ χθὲς εὐθὺς ἐνθένδε, ἐπειδὴ παρὰ Κριτίαν πρὸς τὸν ξενῶνα, οὗ καὶ καταλύομεν, ἀφικόμεθα, καὶ ἔτι πρότερον καθ᾽ ὁδὸν αὖ ταῦτα ἐσκοποῦμεν. ὃδ᾽ οὖν ἡμῖν λόγον εἰσηγήσατο ἐκ παλαιᾶς ἀκοῆς· ὃν καὶ νῦν λέγε, ὦ Κριτία, τῷδε, ἵνα ξυνδοκιμάσῃ πρὸς τὴν ἐπίταξιν, εἴτ᾽ ἐπιτήδειος, εἴτ᾽ ἀνεπιτήδειός ἐστι. ΚΡ. Ταῦτα χρὴ δρᾷν, εἰ καὶ τῷ τρίτῳ κοινωνῷ Τιμαίῳ ξυνδοκεῖ. ΤΙ. Δοκεῖ μέν. ΚΡ. Ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς, ὡς δὴ τῶν ἑπτὰ σοφῶν σοφώτατος Σόλων ποτ᾽ ἔφη. ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει. πρὸς δὲ Κριτίαν τὸν ἡμέτερον πάππον εἶπεν (ὡς ἀπεμνημόνευεν αὖ πρὸς ἡμᾶς ὁ γέρων) ὅτι μεγάλα καὶ θαυμαστὰ τῆσδ᾽ εἴη παλαιὰ ἔργα τῆς πόλεως, ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἠφανισμένα· πάντων δὲ ἓν μέγιστον, οὗ νῦν ἐπιμνησθεῖσι πρέπον ἂν ἡμῖν εἴη σοί τε ἀποδοῦναι χάριν, καὶ τὴν θεὸν ἅμα ἐν τῇ πανηγύρει δικαίως καὶ ἀληθῶς οἷόνπερ ὑμνοῦντας ἐγκωμιάζειν. ΣΩ. Εὖ λέγεις. ἀλλὰ δὴ ποῖον ἔργον τοῦτο Κριτίας οὐ λεγόμενον μέν, ὡς δὲ πραχθὲν ὄντως ὑπὸ τῆσδε τῆς πόλεως ἀρχαῖον διηγεῖται κατὰ τὴν Σόλωνος ἀκοήν; ΚΡ. Ἐγὼ φράσω, παλαιὸν ἀκηκοὼς λόγον οὐ νέου ἀνδρός. ἦν μὲν γὰρ δὴ τότε Κριτίας,

ὥς ἔφη, σχεδὸν ἐγγὺς ἤδη τῶν ἐνενήκοντα ἐτῶν, ἐγὼ δέ πη μάλιστα δεκέτης. ἡ δὲ Κουρεῶτις ἡμῖν οὖσα ἐτύγχανεν Ἀπατουρίων, τὸ δὲ τῆς ἑορτῆς σύνηθες ἑκάστοτε, καὶ τότε ξυνέβη τοῖς παισίν. ἆθλα γὰρ ἡμῖν οἱ πατέρες ἔθεσαν ῥαψῳδίας. πολλῶν μὲν οὖν δὴ καὶ πολλὰ ἐλέχθη ποιητῶν ποιήματα· ἅτε δὲ νέα κατ᾽ ἐκεῖνον τὸν χρόνον ὄντα τὰ Σόλωνος πολλοὶ τῶν παίδων ᾔσαμεν. εἶπεν οὖν τις τῶν φρατόρων, εἴτε δὴ δοκοῦν αὐτῷ τότε, εἴτε καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων, δοκεῖν οἱ τά τε ἄλλα σοφώτατον γεγονέναι Σόλωνα, καὶ κατὰ τὴν ποίησιν αὖ, τῶν ποιητῶν πάντων ἐλευθεριώτατον. ὁ δὲ γέρων (σφόδρα γὰρ οὖν μέμνημαι) μάλα τε ἥσθη, καὶ διαμειδιάσας, εἶπεν, Εἴγε, ὦ Ἀμύνανδρε, μὴ παρέργῳ τῇ ποιήσει κατεχρήσατο, ἀλλ᾽ ἐσπουδάκει, καθάπερ ἄλλοι, τόν τε λόγον ὃν ἀπ᾽ Αἰγύπτου δεῦρο ἠνέγκατο ἀπετέλεσε, καὶ μὴ διὰ τὰς στάσεις, ὑπὸ κακῶν τε ἄλλων ὅσα εὗρεν ἐνθάδε ἥκων, ἠναγκάσθη καταμελῆσαι, κατὰ τὴν ἐμὴν δόξαν οὔτε Ἡσίοδος, οὔτε Ὅμηρος, οὔτε ἄλλος οὐδεὶς τῶν ποιητῶν, εὐδοκιμώτερος ἐγένετο ἄν ποτε αὐτοῦ. Τίς δ᾽ ἦν ὁ λόγος, ἦ δ᾽ ὅς, ὦ Κριτία; Περὶ μεγίστης, ἔφη, καὶ ὀνομαστοτάτης πασῶν δικαιότατ᾽ ἂν πράξεως οὔσης ὧν ἥδε ἡ πόλις ἔπραξε μέν, διὰ δὲ χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων οὐ διήρκεσε δεῦρο ὁ λόγος. Λέγε ἐξ ἀρχῆς, ἦ δ᾽ ὅς, τί τε καὶ πῶς, καὶ περὶ τίνων ὡς ἀληθῆ διακηκοὼς ἔλεγεν ὁ Σόλων. Ἔστι τις κατ᾽ Αἴγυπτον, ἦ δ᾽ ὅς, ἐν τῷ Δέλτα, περὶ ὃ κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα, Σαϊτικὸς ἐπικαλούμενος νομός

τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάϊς· ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς. οἷ τῆς πόλεως θεὸς ἀρχηγός ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηΐθ, Ἑλληνιστὶ δὲ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ. μάλα δὲ φιλαθήναιοι καί τινα τρόπον οἰκεῖοι τῶνδ' εἶναι φασίν. οἷ δὴ Σόλων ἔφη πορευθεὶς σφόδρα τε γενέσθαι παρ' αὐτοῖς ἔντιμος, καὶ δὴ καὶ τὰ παλαιὰ ἀνερωτῶν, τοὺς μάλιστα περὶ ταῦτα τῶν ἱερέων ἐμπείρους, σχεδὸν οὔτε αὐτὸν οὔτε ἄλλον Ἕλληνα οὐδένα οὐδὲν, ὡς ἔπος εἰπεῖν, εἰδότα περὶ τῶν τοιούτων ἀνευρεῖν. καί ποτε προαγαγεῖν βουληθεὶς αὐτοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους τῶν τῇδε, τὰ ἀρχαιότατα λέγειν ἐπιχειρεῖν, περὶ Φορωνέως τε τοῦ πρώτου λεχθέντος καὶ Νιόβης, καὶ μετὰ τὸν κατακλυσμὸν αὖ περὶ Δευκαλίωνος καὶ Πύῤῥας, ὡς διεγένοντο μυθολογεῖν, καὶ τοὺς ἐξ αὐτῶν γενεαλογεῖν· καὶ τὰ τῶν ἐτῶν ὅσα ἦν οἷς ἔλεγε πειρᾶσθαι διαμνημονεύων, τοὺς χρόνους ἀριθμεῖν. καί τινα εἰπεῖν τῶν ἱερέων εὖ μάλα παλαιῶν, Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδες ἐστὲ, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. Ἀκούσας οὖν, πῶς τι τοῦτο λέγεις; φάναι. Νέοι ἐστὲ, εἰπεῖν, τὰς ψυχὰς πάντες. οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε, δι' ἀρχαίαν ἀκοὴν, παλαιὰν δόξαν, οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν. τὸ δὲ τούτων αἴτιον, τόδε· πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων, καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὥς ποτε Φαέθων Ἡλίου παῖς, τὸ τοῦ πατρὸς ἅρμα ζεύξας, διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν

ἐλαύνειν, τά τ' ἐπὶ γῆς ξυνέκαυσε, καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δ' ἀληθές ἐστι, τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις, καὶ διὰ μακρῶν χρόνων γινομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε οὖν ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι, μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων. ἡμῖν δὲ ὁ Νεῖλος εἴς τε τἄλλα σωτὴρ καὶ τότε ἐκ ταύτης τῆς ἀπορίας σώζει λυόμενος. ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασώζονται, βουκόλοι, νομεῖς τε· οἱ δ' ἐν ταῖς παρ' ὑμῖν πόλεσιν, εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται. κατὰ δὲ τήνδε τὴν χώραν οὔτε τότε οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας ὕδωρ ἐπιῤῥεῖ· τὸ δ' ἐναντίον, κάτωθεν ἐπανιέναι πέφυκεν. ὅθεν καὶ δι' ἃς αἰτίας τἀνθάδε σωζόμενα, λέγεται παλαιότατα. τὸ δὲ ἀληθές, ἐν πᾶσι τοῖς τόποις ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, τοτὲ μὲν πλέον, τοτὲ δὲ ἔλαττον ἀεὶ γένος ἐστὶν ἀνθρώπων. ὅσα δὲ ἢ παρ' ἡμῖν, ἢ τῇδε, ἢ καὶ κατ' ἄλλον τόπον ὧν ἀκοῇ ἴσμεν, εἴπου τι καλὸν ἢ μέγα γέγονεν, ἤ καί τινα διαφορὰν ἄλλην ἔχον, πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς, καὶ σεσωσμένα. τὰ δὲ παρ' ὑμῖν καὶ τοῖς ἄλλοις ἄρτι κατεσκευασμένα ἑκάστοτε τυγχάνει γράμμασι καὶ ἅπασιν ὁπόσων πόλεις δέονται. καὶ πάλιν δι' εἰωθότων ἐτῶν ὥσπερ νόσημα ἥκει φερόμενον αὐτοῖς ῥεῦμα οὐράνιον, καὶ τοὺς ἀγραμμάτους καὶ ἀμούσους ἔλιπεν ὑμῶν. ὥστε πάλιν νέοι ἐξ ἀρχῆς γί-

νεσθε, οὐδὲν εἰδότες οὔτε τῶν τῇδε, οὔτε τῶν παρ' ὑμῖν, ὅσα ἦν ἐν τοῖς παλαιοῖς χρόνοις. τὰ γοῦν νῦν δὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες παίδων, βραχύ τι διαφέρει μύθων. οἳ πρῶτον μὲν, ἕνα γῆς κατακλυσμὸν μέμνησθε, πολλῶν ἔμπροσθεν γεγονότων· ἔτι δὲ, τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν τῇ χώρᾳ τῇ παρ' ὑμῖν οὐκ ἴστε γεγονός. ἐξ ὧν σύ τε καὶ πᾶσα ἡ πόλις ἐστὶ τανῦν ὑμῶν, περιλειφθέντος ποτὲ σπέρματος βραχέος. ἀλλ' ὑμᾶς λέληθε, διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασι τελευτᾷν ἀφώνους. ἦν γὰρ δήποτε, ὦ Σόλων, ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη, πρός τε πόλεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως· ᾗ κάλλιστα ἔργα καὶ πολιτεῖαι γενέσθαι κάλλισται λέγονται, πασῶν ὁπόσων νῦν ὑπὸ τὸν οὐρανὸν ἡμεῖς ἀκοὴν παρεδεξάμεθα. Ἀκούσας οὖν ὁ Σόλων ἔφη θαυμάσαι, καὶ πᾶσαν προθυμίαν σχεῖν, δεόμενος τῶν ἱερέων πάντα δι' ἀκριβείας οἱ τὰ περὶ τῶν πάλαι πολιτῶν ἑξῆς διελθεῖν. τὸν οὖν ἱερέα φάναι, Φθόνος οὐδεὶς, ὦ Σόλων· ἀλλὰ σοῦ τε ἕνεκα ἐρῶ καὶ τῆς πόλεως ὑμῶν· μάλιστα δὲ καὶ τῆς θεοῦ χάριν, ἣ τήν τε ὑμετέραν καὶ τήνδ' ἔλαχε, καὶ ἔθρεψε, καὶ ἐπαίδευσε. προτέραν μὲν τὴν παρ' ὑμῖν ἔτεσι χιλίοις, ἐκ Γῆς τε καὶ Ἡφαίστου, τὸ σπέρμα παραλαβοῦσα ὑμῶν, τήνδε δὲ, ὑστέραν. τῆς δὲ ἐνθάδε διακοσμήσεως παρ' ἡμῖν ἐν τοῖς ἱεροῖς γράμμασιν ὀκτακισχιλίων ἐτῶν ἀριθμὸς γέγραπται. περὶ δὲ τῶν ἐνακισχίλια ἔτη γεγονότων πολιτῶν σοὶ δηλώσω διὰ

βραχέων νόμους τε, καὶ τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη. τὸ δ' ἀκριβὲς περὶ πάντων ἐφεξῆς εἰσαῦθις κατὰ σχολὴν, αὐτὰ τὰ γράμματα λαβόντες, διέξιμεν. τοὺς μὲν οὖν νόμους σκόπει πρὸς τοὺς τῇδε. πολλὰ γὰρ παραδείγματα τῶν τότε παρ' ὑμῖν ὄντων, ἐνθάδε νῦν ἀνευρήσεις. πρῶτον μὲν, τὸ τῶν ἱερέων γένος, ἀπὸ τῶν ἄλλων χωρὶς ἀφωρισμένον· μετὰ δὲ τοῦτο, τὸ τῶν δημιουργῶν, ὅτι καθ' αὐτὸ ἕκαστον, ἄλλῳ δὲ οὐκ ἐπιμιγνύμενον δημιουργεῖ· τό, τε τῶν νομέων καὶ τῶν θηρευτῶν, τό, τε τῶν γεωργῶν. καὶ δὴ τὸ μάχιμον γένος ᾔσθησαί που τῇδε, ἀπὸ πάντων τῶν γενῶν κεχωρισμένον, οἷς οὐδὲν ἄλλο πλὴν τὰ περὶ τὸν πόλεμον ὑπὸ τοῦ νόμου προσετάχθη μέλειν. ἔτι δὲ ἡ τῆς ὁπλίσεως αὐτῶν σχέσις ἀσπίδων καὶ δοράτων, οἷς ἡμεῖς πρῶτοι τῶν περὶ τὴν Ἀσίαν ὡπλίσμεθα· τῆς θεοῦ, καθάπερ ἐν ἐκείνοις τοῖς τόποις, παρ' ὑμῖν πρώτοις ἐνδειξαμένης. τὸ δ' αὖ περὶ τῆς φρονήσεως, ὁρᾷς που τὸν νόμον τῇδε ὅσην ἐπιμέλειαν ἐποιήσατο εὐθὺς κατ' ἀρχὰς, περί τε τὸν κόσμον, ἅπαντα, μέχρι μαντικῆς, καὶ ἰατρικῆς πρὸς ὑγίειαν, ἐκ τούτων θείων ὄντων εἰς τὰ ἀνθρώπινα ἐξανευρὼν, ὅσα τε ἄλλα τούτοις ἕπεται μαθήματα, πάντα κτησάμενος. ταύτην οὖν δὴ τότε ξύμπασαν τὴν διακόσμησιν καὶ σύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσασα κατῴκισεν, ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄνδρας οἴσει. ἅτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα, τὸν προφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄν-

δρας, τοῦτον ἐκλεξαμένη τοπρῶτον κατῴκισεν. ᾠκεῖτε οὖν δὴ νόμοις τε τοιούτοις χρώμενοι, καὶ ἔτι μᾶλλον εὐνομούμενοι, πάσῃ τε πάντας ἀνθρώπους ὑπερβεβηκότες ἀρετῇ, καθάπερ εἰκὸς γεννήματα καὶ παιδεύματα θεῶν ὄντας. πολλὰ μὲν οὖν ὑμῶν καὶ μεγάλα τῆς πόλεως τῆςδε γεγραμμένα ἔργα θαυμάζεται, πάντων μὴν ἓν ὑπερέχει μεγέθει καὶ ἀρετῇ. λέγει γὰρ τὰ γεγραμμένα, ὅσην ἡ πόλις ὑμῶν ἔπαυσέ ποτε δύναμιν ὕβρει πορευομένην ἅμα ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν, ἔξωθεν ὁρμηθεῖσαν ἐκ τοῦ Ἀτλαντικοῦ πελάγους. τότε γὰρ πορεύσιμον ἦν τὸ ἐκεῖ πέλαγος· νῆσον γὰρ πρὸ τοῦ στόματος εἶχεν, ὃ καλεῖτε, ὥς φατὲ ὑμεῖς, Ἡρακλέους στήλας. ἡ δὲ νῆσος ἅμα Λιβύης ἦν καὶ Ἀσίας μείζων, ἐξ ἧς ἐπιβατὸν ἐπὶ τὰς ἄλλας νήσους τοῖς τότ᾽ ἐγίγνετο πορευομένοις. ἐκ δὲ τῶν νήσων ἐπὶ τὴν καταντικρὺ πᾶσαν ἤπειρον, τὴν περὶ τὸν ἀληθινὸν ἐκεῖνον πόντον. τάδε μὲν γὰρ ὅσα ἐντὸς τοῦ στόματος οὗ λέγομεν, φαίνεται λιμὴν στενόν τινα εἴσπλουν ἔχων. ἐκεῖνο δὲ πέλαγος ὄντως, ἥ τε περιέχουσα αὐτὸ γῆ παντελῶς ἀληθῶς, ὀρθότατ᾽ ἂν λέγοιτο ἤπειρος. ἐν δὲ τῇ Ἀτλαντίδι ταύτῃ νήσῳ μεγάλη συνέστη καὶ θαυμαστὴ δύναμις βασιλέων, κρατοῦσα μὲν ἁπάσης τῆς νήσου, πολλῶν δὲ ἄλλων νήσων καὶ μερῶν τῆς ἠπείρου. πρὸς δὲ τούτοις, ἔτι τῶν ἐντὸς τῆςδε Λιβύης μὲν ἦρχον ἄχρι πρὸς Αἴγυπτον· τῆς δὲ Εὐρώπης, μέχρι Τυῤῥηνίας. αὕτη δὲ πᾶσα ξυναθροισθεῖσα εἰς ἓν ἡ δύναμις τόν τε παρ᾽ ὑμῖν καὶ τὸν παρ᾽ ἡμῖν καὶ τὸν ἐντὸς τοῦ στόματος πάντα τόπον μιᾷ ποτ᾽ ἐπεχείρησεν ὁρμῇ δουλοῦσθαι.

τότε οὖν ὑμῶν, ὦ Σόλων, τῆς πόλεως ἡ δύναμις εἰς ἅπαντας ἀνθρώπους διαφανὴς ἀρετῇ τε καὶ ῥώμῃ ἐγένετο. πάντων γὰρ προστᾶσα εὐψυχίᾳ, καὶ τέχναις ὅσαι κατὰ πόλεμον, τὰ μὲν τῶν Ἑλλήνων ἡγουμένη, τὰ δ᾽ αὐτὴ μονωθεῖσα, ἐξ ἀνάγκης, τῶν ἄλλων ἀποστάντων, ἐπὶ τοὺς ἐσχάτους ἀφικομένη κινδύνους, κρατήσασα μὲν τῶν ἐπιόντων, τρόπαια ἀνέστησε, τοὺς δὲ μή πω δεδουλωμένους διεκώλυσε δουλωθῆναι· τοὺς δ᾽ ἄλλους, ὅσοι κατοικοῦμεν ἐντὸς ὅρων Ἡρακλείων, ἀφθόνως ἅπαντας ἠλευθέρωσεν. ὑστέρῳ δὲ χρόνῳ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων, μιᾶς ἡμέρας καὶ νυκτὸς χαλεπῆς ἐλθούσης, τό, τε παρ᾽ ὑμῶν μάχιμον πᾶν, ἀθρόον ἔδυ κατὰ γῆς, ἥ τε Ἀτλαντὶς νῆσος ὡσαύτως κατὰ τῆς θαλάσσης δῦσα ἠφανίσθη. διὸ καὶ νῦν ἄπορον καὶ ἀδιερεύνητον γέγονε τοὐκεῖ πέλαγος, πηλοῦ καταβραχέος ἐμποδὼν ὄντος, ὃν ἡ νῆσος ἱζομένη παρέσχετο. Τὰ μὲν δὴ ῥηθέντα, ὦ Σώκρατες, ὑπὸ τοῦ παλαιοῦ Κριτίου, κατ᾽ ἀκοὴν τὴν Σόλωνος, ὡς συντόμως εἰπεῖν, ἀκήκοας. λέγοντος δὲ δὴ χθὲς σοῦ περὶ πολιτείας τε καὶ ἀνδρῶν οὓς ἔλεγες, ἐθαύμαζον, ἀναμιμνησκόμενος αὐτὰ ἃ νῦν λέγω· κατανοῶν ὡς δαιμονίως, ἔκ τινος τύχης, οὐκ ἀπὸ σκοποῦ ξυνηνέχθης τὰ πολλὰ οἷς Σόλων εἶπεν. οὐ μὴν ἐβουλήθην παραχρῆμα εἰπεῖν· διὰ χρόνου γὰρ οὐχ ἱκανῶς ἐμεμνήμην. ἐνενόησα οὖν ὅτι χρεὼν εἴη με πρὸς ἐμαυτὸν πρῶτον ἱκανῶς πάντα ἀναλαβόντα, λέγειν οὕτως. ὅθεν ταχὺ ξυνωμολόγησά σοι τὰ ἐπιταχθέντα χθές· ἡγούμενος, ὅπερ ἐν ἅπασι τοῖς τοιοῖσδε μέγιστον ἔργον, λόγον

εἰ γέγονεν, ἢ καὶ ἀγενές ἐστιν, εἰ μὴ παντάπασι παραλλάττομεν, ἀνάγκη θεούς τε καὶ θεὰς ἐπικαλουμένους, εὔχεσθαι πάντας κατὰ νοῦν ἐκείνοις μὲν μάλιστα, ἑπομένως δὲ ἡμῖν εἰπεῖν. καὶ τὰ μὲν περὶ θεῶν ταύτῃ παρακεκλήσθω. τὸ δ᾽ ἡμέτερον παρακλητέον, ᾗ ῥᾷστ᾽ ἂν ὑμεῖς μὲν μάθητε, ἐγὼ δὲ, ᾗ διανοοῦμαι, μάλιστ᾽ ἂν περὶ τῶν προκειμένων ἐνδειξαίμην. Ἔστιν οὖν δὴ κατ᾽ ἐμὴν δόξαν πρῶτον διαιρετέον τάδε· τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον· καὶ τί τὸ γιγνόμενον μὲν, ὂν δὲ οὐδέποτε. τὸ μὲν δὴ, νοήσει μετὰ λόγου περιληπτὸν, ἀεὶ κατὰ ταὐτὰ ὄν· τὸ δ᾽ αὖ δόξῃ μετ᾽ αἰσθήσεως ἀλόγου, δοξαστὸν, γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. πᾶν δὲ αὖ τὸ γιγνόμενον, ὑπ᾽ αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεσθαι. παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν σχεῖν. ὅπου μὲν οὖν ἂν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὰ ἔχον βλέπων ἀεὶ, τοιούτῳ τινὶ προσχρώμενος παραδείγματι, τὴν ἰδέαν καὶ δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· οὗ δ᾽ ἂν εἰς τὸ γεγονὸς, γενητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν. ὁ δὴ πᾶς οὐρανὸς, ἢ κόσμος, ἢ καὶ ἄλλο ὅ, τι ποτὲ ὀνομαζόμενος μάλιστ᾽ ἂν δέχοιτο, τοῦθ᾽ ἡμῖν ὠνομάσθω. σκεπτέον οὖν δὴ περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεὶ, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ᾽ ἀρχῆς τινος ἀρξάμενος. γέγονεν· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι, καὶ σῶμα ἔχων. πάντα δὲ τὰ τοιαῦτα, αἰσθητά· τὰ δὲ αἰσθητὰ, δόξῃ περιληπτὰ μετὰ αἰσθήσεως, γιγνόμενα καὶ γε-

νητὰ ἐφάνη. τῷ δ᾽ αὖ γενομένῳ φαμὲν ὑπ᾽ αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι. τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα, εἰς πάντας ἀδύνατον λέγειν. τόδε δ᾽ αὖ πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον, ἢ πρὸς τὸ γεγονός. εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος, ὅ, τε δημιουργὸς ἀγαθὸς, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δὲ (ὃ μηδ᾽ εἰπεῖν τινι θέμις) πρὸς τὸ γεγονός. παντὶ δὲ σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον. ὁ μὲν γὰρ, κάλλιστος τῶν γεγονότων, ὁ δ᾽ ἄριστος τῶν αἰτίων. οὕτω δὴ γεγενημένος, πρὸς τὸ λόγῳ καὶ φρονήσει περιληπτὸν, καὶ κατὰ ταὐτὰ ἔχον, δεδημιούργηται. τούτων δὲ ὑπαρχόντων αὖ, καὶ πᾶσα ἀνάγκη, τόνδε τὸν κόσμον εἰκόνα τινὸς εἶναι. μέγιστον δὴ παντὸς ἄρξασθαι κατὰ φύσιν ἀρχήν. ὧδι οὖν περί τε εἰκόνος καὶ τοῦ παραδείγματος αὖ διοριστέον, ὡς ἄρα τοὺς λόγους ὧνπέρ εἰσιν ἐξηγηταὶ, τούτων αὐτῶν καὶ ξυγγενεῖς ὄντας. τοῦ μὲν οὖν μονίμου καὶ βεβαίου, καὶ μετὰ νοῦ καταφανοῦς, μονίμους καὶ ἀμεταπτώτους, καθ᾽ ὅσον τε ἀνελέγκτοις προσήκει λόγοις εἶναι· καὶ ἀκινήτοις, τούτου δεῖ μηδὲν ἐλλείπειν· τοὺς δὲ τοῦ πρὸς μὲν ἐκεῖνο ἀπεικασθέντος, ὄντος δὲ εἰκόνος, εἰκότας, ἀνάλογόν τε ἐκείνων ὄντας. ὅ, τι γὰρ πρὸς γένεσιν οὐσία, τοῦτο πρὸς πίστιν ἀλήθεια. ἐὰν οὖν, ὦ Σώκρατες, πολλὰ πολλῶν εἰπόντων περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως, μὴ δυνατοὶ γιγνώμεθα πάντῃ πάντως ἂν

τοὺς αὐτοὺς αὑτοῖς ὁμολογουμένους καὶ ἀπηκριβωμένους λόγους ἀποδοῦναι, μὴ θαυμάσῃς. ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας, ἀγαπᾷν χρή· μεμνημένον ὡς ὁ λέγων, ὑμεῖς τε οἱ κριταὶ, φύσιν ἀνθρωπίνην ἔχομεν· ὥστε περὶ τούτων τὸν εἰκότα μῦθον ἀποδεχομένους, πρέπει μηδὲν ἔτι πέρα ζητεῖν. ΣΩ. Ἄριστα, ὦ Τίμαιε· παντάπασί τε ὡς κελεύεις ἀποδεκτέον. τὸ μὲν οὖν προοίμιον θαυμασίως ἀπεδεξάμεθά σου, τὸν δὲ δὴ νόμον ἡμῖν ἐφεξῆς πέραινε. ΤΙ. Λέγωμεν δὴ δι' ἣν αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν. ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος. τούτου δ' ἐκτὸς ὤν, πάντα ὅτιμάλιστα ἐβουλήθη γενέσθαι παραπλήσια αὑτῷ. ταύτην δὲ γενέσεως κόσμου μάλιστ' ἄν τις ἀρχὴν κυριωτάτην παρ' ἀνδρῶν φρονίμων ἀποδεχόμενος, ὀρθότατα ἀποδέχοιτ' ἄν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν, παραλαβὼν, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον. θέμις δὲ οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾷν ἄλλο πλὴν τὸ κάλλιστον. λογισάμενος οὖν εὕρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον, τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτ' ἔργον. νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαί τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε, νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνιστὰς, τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅτικάλλιστον εἴη κατὰ φύσιν ἄριστόν

τε ἔργον ἀπειργασμένος. οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν, τόνδε τὸν κόσμον, ζῶον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν. Τούτου δ᾽ ὑπάρχοντος αὖ τὰ τούτοις ἐφεξῆς ἡμῖν λεκτέον, τίνι τῶν ζώων αὐτὸν εἰς ὁμοιότητα ὁ ξυνιστὰς ξυνέστησε. τῶν μὲν οὖν ἐν μέρους εἴδει πεφυκότων μηδενὶ καταξιώσωμεν. ἀτελεῖ γὰρ ἐοικὸς οὐδέν ποτ᾽ ἂν γένοιτο καλόν. οὗ δ᾽ ἔςι τἄλλα ζῶα καθ᾽ ἓν καὶ κατὰ γένη μόρια, πάντων ὁμοιότατον αὐτῷ εἶναι τιθῶμεν. τὰ γὰρ δὴ νοητὰ ζῶα πάντα ἐκεῖνο ἐν ἑαυτῷ περιλαβὸν ἔχει, καθάπερ ὅδε ὁ κόσμος ἡμᾶς, ὅσα τε ἄλλα θρέμματα συνέστηκεν ὁρατά. τῷ γὰρ τῶν νοουμένων καλλίστῳ καὶ κατὰ πάντα τελέῳ μάλιστ᾽ αὐτὸν θεὸς ὁμοιῶσαι βουληθεὶς, ζῶον ἓν ὁρατὸν, πάνθ᾽ ὅσα κατὰ φύσιν αὐτοῦ συγγενῆ ζῶα ἐντὸς ἔχον ἑαυτοῦ, ξυνέστησε. πότερον οὖν ὀρθῶς ἕνα οὐρανὸν προσειρήκαμεν, ἢ πολλοὺς καὶ ἀπείρους λέγειν ἦν ὀρθότερον; ἕνα· εἴπερ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔσται. τὸ γὰρ περιέχον πάντα ὁπόσα νοητὰ ζῶα, μεθ᾽ ἑτέρου δεύτερον οὐκ ἄν ποτ᾽ εἴη. πάλιν γὰρ ἂν ἕτερον εἶναι τὸ περὶ ἐκείνω δέοι ζῶον, οὗ μέρος ἂν ἤτην ἐκείνω· καὶ οὐκ ἂν ἔτι ἐκείνοιν, ἀλλ᾽ ἐκείνῳ τῷ περιέχοντι, τόδ᾽ ἂν ἀφωμοιωμένον λέγοιτο ὀρθότερον. ἵνα οὖν τόδε κατὰ τὴν μόνωσιν ὅμοιον ᾖ τῷ παντελεῖ ζώῳ, διὰ ταῦτα οὔτε δύο, οὔτ᾽ ἀπείρους ἐποίησεν ὁ ποιῶν, κόσμους, ἀλλ᾽ εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονὼς, ἔστι τε καὶ ἔσεται. σωματοειδὲς δὴ καὶ ὁρατὸν ἁπτόν τε δεῖ τὸ γενόμενον εἶναι. χωρισθὲν δέ τε πυρὸς

οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο· οὐδὲ ἁπτὸν, ἄνευ τινὸς στερεοῦ· στερεὸν δὲ, οὐκ ἄνευ γῆς. ὅθεν ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς ἀρχόμενος συνιστάναι σῶμα ὁ θεὸς ἐποίει. δύο δὲ μόνω ξυνίστασθαι τρίτου χωρὶς, οὐ δυνατόν· δεσμὸν γὰρ ἐν μέσῳ δεῖ τινα ἀμφοῖν ξυναγωγὸν γίνεσθαι. δεσμῶν δ᾽ ὁ κάλλιστος, ὅς ἂν αὑτὸν καὶ τὰ ξυνδούμενα, ὅτιμάλιστα ἓν ποιῇ. τοῦτο δὲ πέφυκεν ἀναλογία κάλλιστα ἀποτελεῖν. ὁπόταν γὰρ ἀριθμῶν τριῶν, εἴτε ὄγκων, εἴτε δυνάμεων, ὡντινωνοῦν ᾖ τὸ μέσον, ὅ, τι περ τὸ πρῶτον πρὸς αὐτὸ, τοῦτο αὐτὸ πρὸς τὸ ἔσχατον· καὶ πάλιν αὖθις, ὅ, τι τὸ ἔσχατον πρὸς τὸ μέσον, τοῦτο τὸ μέσον πρὸς τὸ πρῶτον· τότε τὸ μέσον μὲν, πρῶτον καὶ ἔσχατον γιγνόμενον, τὸ δὲ ἔσχατον καὶ τὸ πρῶτον, αὖ μέσα ἀμφότερα· πάνθ᾽ οὕτως ἐξ ἀνάγκης ταῦτα εἶναι ξυμβήσεται. τὰ αὐτὰ δὲ γενόμενα ἀλλήλοις, ἓν πάντα ἔσται. εἰ μὲν οὖν ἐπίπεδον μὲν, βάθος δὲ μηδὲν ἔχον ἔδει γίγνεσθαι τὸ τοῦ παντὸς σῶμα, μία μεσότης ἂν ἐξήρκει τά τε μεθ᾽ αὑτῆς ξυνδεῖν καὶ ἑαυτήν. νῦν δὲ (στερεὸν γὰρ αὐτὸ προσῆκεν εἶναι, τὰ δὲ στερεὰ μία μὲν οὐδέποτε, δύο δὲ ἀεὶ μεσότητες συναρμόττουσιν) οὕτω δὴ πυρός τε καὶ γῆς, ὕδωρ ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θεὶς, καὶ πρὸς ἄλληλα καθ᾽ ὅσον ἦν δυνατὸν ἀνὰ τὸν αὐτὸν ἀπεργασάμενος, ὅ, τι πῦρ πρὸς ἀέρα, τοῦτο ἀέρα πρὸς ὕδωρ· καὶ ὅ, τι ἀὴρ πρὸς ὕδωρ, τοῦτο δ᾽ ὕδωρ πρὸς γῆν· ξυνέδησε καὶ ξυνεστήσατο οὐρανὸν ὁρατὸν καὶ ἁπτόν. καὶ διὰ ταῦτα ἔκ τε δὴ τούτων τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγεννή-

θη δι' ἀναλογίας ὁμολογῆσαν. φιλίαν τε ἔσχεν ἐκ τούτων, ὥστ' εἰς ταὐτὸν αὐτῷ ξυνελθὸν, ἄλυτον ὑπὸ τῶν ἄλλων, πλὴν ὑπὸ τοῦ ξυνδήσαντος, γενέσθαι. τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις. ἐκ γὰρ πυρὸς παντὸς, ὕδατός τε καὶ ἀέρος καὶ γῆς, ξυνέστησεν αὐτὸν ὁ ξυνιστὰς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολείπων· τάδε διανοηθεὶς, πρῶτον μὲν ἵνα ὅλον ὅτιμάλιστα ζῶον τέλεον ἐκ τελέων τῶν μερῶν εἴη· πρὸς δὲ τούτοις, ἓν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτ' ἂν γένοιτο. ἔτι δὲ, ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ· κατανοῶν ὡς ἃ ξυνιστᾷ τὰ σώματα, θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει, περιϊστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως, λύει, καὶ νόσους γῆράς τε ἐπάγοντα, φθίνειν ποιεῖ. διὰ δὴ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε, ἓν ὅλον ἐξ ἁπάντων τέλεον καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο. Καὶ σχῆμα δὲ ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ ξυγγενές. τῷ γὰρ τὰ πάντ' ἐν αὐτῷ ζῶα περιέχειν μέλλοντι ζώῳ, πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὐτῷ πάντα ὁπόσα σχήματα. διὸ καὶ σφαιροειδὲς, ἐκ μέσου πάντη πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον καὶ κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο, πάντων τελεώτατον ὁμοιότατόν τε αὐτὸ ἑαυτῷ σχημάτων· νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου. λεῖον δὲ δὴ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ ἀπηκριβοῦτο, πολλῶν χάριν. ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδέν· (ὁρατὸν γὰρ οὐδὲν ὑπελείπετο ἔξωθεν) οὐδ' ἀκοῆς· οὐδὲ γὰρ ἀκουστόν. πνεῦμά τε οὐκ ἦν περιεστὼς δεόμενον ἀναπνοῆς. οὐδ' αὖ τινος

οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο· οὐδὲ ἁπτὸν, ἄνευ τινὸς στερεοῦ· στερεὸν δὲ, οὐκ ἄνευ γῆς. ὅθεν ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς ἀρχόμενος συνιστάναι σῶμα ὁ θεὸς ἐποίει. δύο δὲ μόνω ξυνίστασθαι τρίτου χωρὶς, οὐ δυνατόν· δεσμὸν γὰρ ἐν μέσῳ δεῖ τινα ἀμφοῖν ξυναγωγὸν γίνεσθαι. δεσμῶν δ᾽ ὁ κάλλιστος, ὃς ἂν αὑτὸν καὶ τὰ ξυνδούμενα, ὅτιμάλιστα ἓν ποιῇ. τοῦτο δὲ πέφυκεν ἀναλογία κάλλιστα ἀποτελεῖν. ὁπόταν γὰρ ἀριθμῶν τριῶν, εἴτε ὄγκων, εἴτε δυνάμεων, ὡντινωνοῦν ᾖ τὸ μέσον, ὅ, τι περ τὸ πρῶτον πρὸς αὐτὸ, τοῦτο αὐτὸ πρὸς τὸ ἔσχατον· καὶ πάλιν αὖθις, ὅ, τι τὸ ἔσχατον πρὸς τὸ μέσον, τοῦτο τὸ μέσον πρὸς τὸ πρῶτον· τότε τὸ μέσον μὲν, πρῶτον καὶ ἔσχατον γιγνόμενον, τὸ δὲ ἔσχατον καὶ τὸ πρῶτον, αὖ μέσα ἀμφότερα· πάνθ᾽ οὕτως ἐξ ἀνάγκης ταὐτὰ εἶναι ξυμβήσεται. τὰ αὐτὰ δὲ γενόμενα ἀλλήλοις, ἓν πάντα ἔσται. εἰ μὲν οὖν ἐπίπεδον μὲν, βάθος δὲ μηδὲν ἔχον ἔδει γίγνεσθαι τὸ τοῦ παντὸς σῶμα, μία μεσότης ἂν ἐξήρκει τά τε μεθ᾽ αὑτῆς ξυνδεῖν καὶ ἑαυτήν. νῦν δὲ (στερεὸν γὰρ αὐτὸ προσῆκεν εἶναι, τὰ δὲ στερεὰ μία μὲν οὐδέποτε, δύο δὲ ἀεὶ μεσότητες συναρμόττουσιν) οὕτω δὴ πυρός τε καὶ γῆς, ὕδωρ ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θεὶς, καὶ πρὸς ἄλληλα καθ᾽ ὅσον ἦν δυνατὸν ἀνὰ τὸν αὐτὸν ἀπεργασάμενος, ὅ, τι πῦρ πρὸς ἀέρα, τοῦτο ἀέρα πρὸς ὕδωρ· καὶ ὅ, τι ἀὴρ πρὸς ὕδωρ, τοῦτο δ᾽ ὕδωρ πρὸς γῆν· ξυνέδησε καὶ ξυνεστήσατο οὐρανὸν ὁρατὸν καὶ ἁπτόν. καὶ διὰ ταῦτα ἔκ τε δὴ τούτων τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγεννή-

θη δι' ἀναλογίας ὁμολογῆσαν. φιλίαν τε ἔσχεν ἐκ τούτων, ὥστ' εἰς ταὐτὸν αὐτῷ ξυνελθὸν, ἄλυτον ὑπὸ τῶν ἄλλων, πλὴν ὑπὸ τοῦ ξυνδήσαντος, γενέσθαι. τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις. ἐκ γὰρ πυρὸς παντὸς, ὕδατός τε καὶ ἀέρος καὶ γῆς, ξυνέστησεν αὐτὸν ὁ ξυνιστὰς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολείπων· τάδε διανοηθεὶς, πρῶτον μὲν ἵνα ὅλον ὅτιμάλιστα ζῶον τέλεον ἐκ τελέων τῶν μερῶν εἴη· πρὸς δὲ τούτοις, ἓν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτ' ἂν γένοιτο. ἔτι δὲ, ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ· κατανοῶν ὡς ἃ ξυνιστῷ τὰ σώματα, θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει, περιϊστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως, λύει, καὶ νόσους γῆράς τε ἐπάγοντα, φθίνειν ποιεῖ. διὰ δὴ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε, ἓν ὅλον ἐξ ἁπάντων τέλεον καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο. Καὶ σχῆμα δὲ ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ ξυγγενές. τῷ γὰρ τὰ πάντ' ἐν αὐτῷ ζῶα περιέχειν μέλλοντι ζώῳ, πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὐτῷ πάντα ὁπόσα σχήματα. διὸ καὶ σφαιροειδὲς, ἐκ μέσου πάντη πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον καὶ κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο, πάντων τελεώτατον ὁμοιότατόν τε αὐτὸ ἑαυτῷ σχημάτων· νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου. λεῖον δὲ δὴ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ ἀπηκριβοῦτο, πολλῶν χάριν. ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδέν· (ὁρατὸν γὰρ οὐδὲν ὑπελείπετο ἔξωθεν) οὐδ' ἀκοῆς· οὐδὲ γὰρ ἀκουστόν. πνεῦμά τε οὐκ ἦν περιεστὼς δεόμενον ἀναπνοῆς. οὐδ' αὖ τινος

ἐπιδεὲς ἦν ὀργάνου σχεῖν, ᾧ τὴν μὲν εἰς ἑαυτὸ τροφὴν δέξοιτο, τὴν δὲ πρότερον ἐξικμασμένην ἀποπέμψοι πάλιν. ἀπῄει τε γὰρ οὐδὲν οὐδὲ προσῄει αὐτῷ ποθὲν οὐδέν· οὐ γὰρ ἦν. αὐτὸ γὰρ ἑαυτῷ τροφὴν, τὴν ἑαυτοῦ φθίσιν παρέχον, καὶ πάντα ἐν αὑτῷ καὶ ὑφ' αὑτοῦ πάσχον καὶ δρῶν, ἐκ τέχνης γέγονεν. ἡγήσατο γὰρ αὐτὸ ὁ συνθεὶς, αὔταρκες ὂν, ἄμεινον ἔσεσθαι μᾶλλον ἢ προσδεὲς ἄλλων. χειρῶν δὲ, αἷς οὔτε λαβεῖν, οὔτε ἄν τινα ἀμύνασθαι χρεία τὶς ἦν, μάτην οὐκ ᾤετο δεῖν αὐτῷ προσάπτειν· οὐδὲ ποδῶν, οὐδὲ ὅλως τῆς περὶ τὴν βάσιν ὑπηρεσίας. Κίνησιν γὰρ ἀπένειμεν αὐτῷ τὴν τοῦ σώματος οἰκείαν, τῶν ἑπτὰ τὴν περὶ νοῦν καὶ φρόνησιν μάλιστα οὖσαν. διὸ δὴ κατὰ ταὐτὰ ἐν τῷ αὐτῷ καὶ ἐν αὑτῷ περιαγαγὼν αὐτὸ, ἐποίησε κύκλῳ κινεῖσθαι στρεφόμενον. τὰς δὲ ἓξ ἁπάσας κινήσεις ἀφεῖλεν, καὶ ἀπλανὲς ἀπειργάσατο ἐκείνων. ἐπὶ δὲ τὴν περίοδον ταύτην ἅτ' οὐδὲν ποδῶν δέον, ἀσκελὲς καὶ ἄπουν αὐτὸ ἐγέννησεν. οὗτος δὴ πᾶς ὄντως ἀεὶ λογισμὸς θεοῦ, περὶ τὸν ποτὲ ἐσόμενον θεὸν λογισθεὶς, λεῖον καὶ ὁμαλὸν, πανταχῇ τε ἐκ μέσου ἴσον, καὶ ὅλον καὶ τέλεον ἐκ τελέων σωμάτων σῶμα ἐποίησε. ψυχὴν δὲ εἰς τὸ μέσον αὐτοῦ θεὶς, διὰ παντός τε ἔτεινε, καὶ ἔτι ἔξω τὸ σῶμα αὐτῇ περιεκάλυψε, καὶ κύκλῳ δὴ κύκλον στρεφόμενον, οὐρανὸν ἕνα μόνον ἔρημον κατέστησε, δι' ἀρετὴν αὐτὸν αὑτῷ δυνάμενον ξυγγίγνεσθαι, καὶ οὐδενὸς ἑτέρου προσδεόμενον, γνώριμον δὲ καὶ φίλον ἱκανῶς αὐτὸν αὑτῷ. διὰ πάντα δὴ ταῦτα εὐδαίμονα θεὸν αὐτὸν ἐγεννήσατο. τὴν δὲ δὴ ψυχὴν οὐχ ὡς νῦν ὑστέραν

ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν. οὐ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρου συνέρξας εἴασεν. ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ, ταύτῃ πῃ καὶ λέγομεν. ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος, ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου συνεστήσατο, ἐκ τῶνδέ τε καὶ τοιῷδε τρόπῳ· τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας, καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς τοῦ ἑτέρου, καὶ κατὰ ταὐτὰ ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν, καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. καὶ τρία λαβὼν αὖ τὰ ὄντα, συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸ ξυναρμόττων βίᾳ. μιγνὺς δὲ μετὰ τῆς οὐσίας, καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν· ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην. ἤρχετο δὲ διαιρεῖν ὧδε· μίαν ἀφεῖλε τοπρῶτον ἀπὸ παντὸς μοῖραν· μετὰ δὲ ταύτην ἀφῄρει διπλασίαν ταύτης. τὴν δ᾽ αὖ τρίτην, ἡμιολίαν μὲν τῆς δευτέρας, τριπλασίαν δὲ τῆς πρώτης. τετάρτην δὲ, τῆς δευτέρας διπλῆν· πέμπτην δὲ, τριπλῆν τῆς τρίτης· τὴν δ᾽ ἕκτην, τῆς πρώτης ὀκταπλασίαν· ἑβδόμην δὲ, ἑπτακαιεικοσαπλασίαν τῆς πρώτης. μετὰ δὲ ταῦτα, ξυνεπλήρωσε τά τε διπλάσια καὶ τριπλάσια διαστήματα, μοίρας ἔτι ἐκεῖθεν ἀποτέμνων, καὶ τιθεὶς εἰς τὸ μεταξὺ τούτων, ὥστε ἐν ἑκάστῳ

διαστήματι δύο εἶναι μεσότητας· τὴν μὲν, ταὐτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑπερεχομένην, τὴν δ᾿ ἴσῳ μὲν κατ᾿ ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχομένην. ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων, ἐκ τούτων τῶν δεσμῶν ἐν ταῖς πρόσθεν διαστάσεσι, τῷ τοῦ ἐπογδόου διαστήματι τὰ ἐπίτριτα πάντα ξυνεπληροῦτο, λείπων αὐτῶν ἑκάστου μόριον. τῆς τοῦ μορίου ταύτης διαστάσεως λειφθείσης, ἀριθμοῦ πρὸς ἀριθμὸν ἐχούσης τοὺς ὅρους, ἓξ καὶ πεντήκοντα καὶ διακοσίων πρὸς τρία καὶ τετταράκοντα καὶ διακόσια. καὶ δὴ τὸ μιχθὲν ἐξ οὗ ταῦτα κατέτεμνεν, οὕτως ἤδη πᾶν ἀπηναλώκει. ταύτην οὖν τὴν ξύστασιν πᾶσαν, διπλῆν κατὰ μῆκος σχίσας, μέσην πρὸς μέσην ἑκατέραν ἀλλήλαις, οἷον χ προσβαλὼν, κατέκαμψεν εἰς κύκλον, ξυνάψας αὐταῖς τε καὶ ἀλλήλαις ἐν τῷ καταντικρὺ τῆς προσβολῆς· καὶ τῇ κατὰ ταὐτὰ καὶ ἐν τῷ αὐτῷ περιαγομένῃ κινήσει πέριξ αὐτὰς ἔλαβε· καὶ τὸν μὲν ἔξω, τὸν δ᾿ ἐντὸς ἐποιεῖτο τῶν κύκλων. τὴν μὲν οὖν ἔξω φορὰν, ἐπεφήμισεν εἶναι τῆς ταὐτοῦ φύσεως, τὴν δ᾿ ἐντὸς, τῆς θατέρου. τὴν μὲν δὴ ταὐτοῦ, κατὰ πλευρὰν ἐπὶ δεξιὰ περιήγαγε· τὴν δὲ θατέρου, κατὰ διάμετρον, ἐπ᾿ ἀριστερά. κράτος δ᾿ ἔδωκε τῇ ταὐτοῦ καὶ ὁμοίου περιφορᾷ. μίαν γὰρ αὐτὴν ἄσχιστον εἴασεν, τὴν δ᾿ ἐντὸς, σχίσας ἑξαχῇ, ἑπτὰ κύκλους ἀνίσους κατὰ τὴν τοῦ διπλασίου καὶ τριπλασίου διάστασιν ἑκάστην, οὐσῶν ἑκατέρων τριῶν, κατὰ τἀναντία μὲν ἀλλήλοις προσέταξεν ἰέναι τοὺς κύκλους, τάχει δὲ τρεῖς μὲν ὁμοίως, τοὺς

δὲ τέτταρας ἀλλήλοις καὶ τοῖς τρισὶν ἀνομοίως, ἐν λόγῳ δὲ φερομένους. Ἐπεὶ δὲ κατὰ νοῦν τῷ ξυνιστάντι πᾶσα ἡ τῆς ψυχῆς ξύστασις ἐγεγένητο, μετὰ τοῦτο πᾶν τὸ σωματοειδὲς ἐντὸς αὐτῆς ἐτεκταίνετο, καὶ μέσον μέσῃ ξυνάγων προσήρμοττεν. ἡ δ' ἐκ μέσου πρὸς τὸν ἔσχατον οὐρανὸν πάντῃ διαπλακεῖσα, κύκλῳ τε αὐτὸν ἔξωθεν περικαλύψασα, αὐτή τε ἐν αὑτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου πρὸς τὸν ξύμπαντα χρόνον. καὶ τὸ μὲν δὴ σῶμα ὁρατὸν οὐρανοῦ γέγονεν, αὐτὴ δέ, ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχὴ τῶν νοητῶν, ἀεί τε ὄντων, ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων. ἅτε οὖν ἐκ ταὐτοῦ καὶ τῆς θατέρου φύσεως, ἔκ τε οὐσίας τριῶν τούτων συγκραθεῖσα μοιρῶν, καὶ ἀνάλογον μερισθεῖσα καὶ ξυνδεθεῖσα, αὐτή τε ἀνακυκλουμένη πρὸς αὑτήν, ὅταν οὐσίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριστον, λέγει κινουμένη διὰ πάσης ἑαυτῆς, ὅτῳ τ' ἄν τι ταὐτὸν ᾖ, καὶ ὅτου ἂν ἕτερον, πρὸς ὅ, τι τε μάλιστα καὶ ὅπῃ καὶ ὅπως καὶ ὁπότε συμβαίνει κατὰ τὰ γιγνόμενά τε πρὸς ἕκαστον ἕκαστα εἶναι καὶ πάσχειν, καὶ πρὸς τὰ κατὰ ταὐτὰ ἔχοντα ἀεί. λόγος δὲ ὁ κατὰ ταὐτὸν ἀληθὴς γιγνόμενος, περί τε θάτερον ὤν, καὶ περὶ τὸ ταὐτὸν ἐν τῷ κινουμένῳ ὑφ' αὑτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἴσθητον γίγνηται, καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ἰών, εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ, καὶ ὁ ταὐ-

ράυχοι. ταῦτα μὲν οὖν ἴσως τάχ᾽ ἂν κατὰ σχολὴν ὕστερον τῆς ἀξίας τύχοι διηγήσεως. Ἐπειδὴ δὲ οὖν εἰς τὴν ἑαυτῷ πρέπουσαν ἕκαστον ἀφίκετο φορὰν, τῶν ὅσα ἔδει ξυναπεργάζεσθαι χρόνον, δεσμοῖς τε ἐμψύχοις σώματα δεθέντα, ζῶα ἐγενήθη, τό, τε προσταχθὲν ἔμαθε, κατὰ δὴ τὴν θατέρου φορὰν πλαγίαν οὖσαν, διὰ τῆς ταὐτοῦ φύσεως ἰοῦσάν τε καὶ κρατουμένην, τὸ μὲν, μείζονα αὐτῶν, τὸ δὲ, ἐλάττω κύκλον ἰόν· θᾶττον μὲν, τὰ τὸν ἐλάττω, τὰ δὲ τὸν μείζονα βραδύτερον περιϊόντα· τῇ δὲ ταὐτοῦ φορᾷ τὰ τάχιστα περιϊόντα, ὑπὸ τῶν βραδύτερον ἰόντων ἐφαίνετο, καταλαμβάνοντα, καταλαμβάνεσθαι. πάντας γὰρ τοὺς κύκλους αὐτῶν στρέφουσα ἕλικη, διὰ τὸ διχῇ κατὰ τὰ ἐναντία ἅμα προϊέναι, τὸ βραδύτατα ἀπιὸν ἀφ᾽ αὑτῆς οὔσης ταχίστης, ἐγγύτατα ἀπέφαινεν. ἵνα δὲ εἴη μέτρον ἐναργές τι πρὸς ἄλληλα βραδυτῆτι καὶ τάχει, καὶ τὰ περὶ τὰς ὀκτὼ φορὰς πορεύοιτο, φῶς ὁ θεὸς ἀνῆψεν ἐν τῇ πρὸς γῆν δευτέρᾳ τῶν περιόδων· ὃ δὴ νῦν κεκλήκαμεν Ἥλιον· ἵνα ὅ,τι μάλιστα εἰς ἅπαντα φαίνοι τὸν οὐρανὸν, μετάσχοι τε ἀριθμοῦ τὰ ζῶα, ὅσοις ἦν προσῆκον, μαθόντα παρὰ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφορᾶς. νὺξ μὲν οὖν ἡμέρα τε γέγονεν οὕτω, καὶ διὰ ταῦτα ἡ τῆς μιᾶς καὶ φρονιμωτάτης κυκλήσεως περίοδος. μεὶς δὲ, ἐπειδὰν Σελήνη περιελθοῦσα τὸν ἑαυτῆς κύκλον Ἥλιον ἐπικαταλάβοι· ἐνιαυτὸς δὲ, ὁπόταν Ἥλιος τὸν ἑαυτοῦ περιέλθοι κύκλον. τῶν δ᾽ ἄλλων τὰς περιόδους οὐκ ἐννενοηκότες ἄνθρωποι, πλὴν ὀλίγοι τῶν πολλῶν, οὔτε ὀνομάζουσιν, οὔτε πρὸς ἄλληλα συμμε-

τροῦνται, σκοποῦντες ἀριθμοῖς. ὥστε, ὡς ἔπος εἰπεῖν, οὐκ ἴσασι χρόνον ὄντα τὰς τούτων πλάνας, πλήθει μὲν ἀμηχάνῳ χρωμένας, πεποικιλμένας δὲ θαυμαστῶς. ἔστι δ' ὅμως οὐδὲν ἧττον κατανοῆσαι δυνατὸν ὡς ὅγε τέλεος ἀριθμὸς χρόνου τὸν τέλεον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν ὀκτὼ περιόδων τὰ πρὸς ἄλληλα ξυμπερανθέντα τάχη σχῇ κεφαλὴν τῷ τοῦ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ. κατὰ ταῦτα δὴ τούτων ἕνεκα ἐγεννήθη τῶν ἄστρων ὅσα δι' οὐρανοῦ πορευόμενα ἔσχε τροπάς, ἵνα τόδ' ὡς ὁμοιότατον ᾖ τῷ τελεωτάτῳ καὶ νοητῷ ζώῳ πρὸς τὴν τῆς διαιωνίας μίμησιν φύσεως. καὶ τὰ μὲν ἄλλα εἴδη μέχρι χρόνου γενέσεως ἀπείργαστο, εἰς ὁμοιότητα ᾧπερ ἀπεικάζετο· τῷ δὲ μήπω τὰ πάντα ζῶα ἐντὸς αὐτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως. τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν. ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ᾧ ἐστι ζῶον, οἷαί τε ἔνεισι καὶ ὅσαι καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες· μία μὲν, οὐράνιον θεῶν γένος· ἄλλη δὲ, πτηνὸν καὶ ἀεροπόρον· τρίτη δὲ, ἔνυδρον εἶδος. πεζὸν δὲ καὶ χερσαῖον, τέταρτον. τοῦ μὲν οὖν θείου τὴν πλείστην ἰδέαν ἐκ πυρὸς ἀπειργάζετο, ὅπως ὅτιλαμπρότατον ἰδεῖν τε κάλλιστον εἴη. τῷ δὲ παντὶ προσεικάζων, εὔκυκλον ἐποίει. τίθησί τε εἰς τὴν τοῦ κρατίστου φρόνησιν, ἐκείνῳ ξυνεπόμενον, νείμας περὶ πάντα κύκλῳ τὸν οὐρανὸν, κόσμον ἀληθινὸν αὐτῷ πεποικιλμένον εἶναι καθ' ὅλον. κινήσεις

δὲ δύο προσῆψεν ἑκάστῳ, τὴν μὲν, ἐν ταὐτῷ κατὰ ταὐτὰ, περὶ τῶν αὐτῶν ἀεὶ τὰ αὐτὰ ἑαυτῷ διανοουμένῳ· τὴν δὲ, εἰς τὸ πρόσθεν, ὑπὸ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφορᾶς κρατουμένῳ. τὰς δὲ πέντε κινήσεις ἀκίνητον, καὶ ἑστὼς, ἵν᾽ ὅτιμάλιστα αὐτῶν ἕκαστον γένοιτο ὡς ἄριστον. ἐξ ἧς δὴ τῆς αἰτίας γέγονεν ὅσα ἀπλανῆ τῶν ἄστρων ζῶα, θεῖα ὄντα· καὶ διὰ ταῦτα ἐν ταὐτῷ στρεφόμενα ἀεὶ μένει· τὰ δὲ τρεπόμενα, καὶ πλάνην τοιαύτην ἴσχοντα, καθάπερ ἐν τοῖς πρόσθεν ἐῤῥήθη, κατ᾽ ἐκεῖνα γέγονε. Γῆν δὲ, τροφὸν μὲν ἡμετέραν, εἱλουμένην δὲ περὶ τὸ διὰ παντὸς πόλον τεταμένον, φύλακα καὶ δημιουργὸν νυκτός τε καὶ ἡμέρας ἐμηχανήσατο, πρώτην καὶ πρεσβυτάτην σωμάτων ὅσα ἐντὸς οὐρανοῦ γέγονε. χορείας δὲ τούτων αὐτῶν καὶ παραβολὰς ἀλλήλων, καὶ περὶ τὰς τῶν κύκλων πρὸς ἑαυτοὺς ἐπανακυκλήσεις καὶ προσχωρήσεις, ἔν τε ταῖς συνάψεσιν, ὁποῖοι τῶν θεῶν κατ᾽ ἀλλήλους γιγνόμενοι, καὶ ὅσοι καταντικρὺ, μεθ᾽ οὕστινάς τε ἐπίπροσθεν ἀλλήλοις, ἡμῖν τε κατὰ χρόνους οὕστινας ἕκαστοι κατακαλύπτονται, καὶ πάλιν ἀναφαινόμενοι, φόβους καὶ σημεῖα τῶν μετὰ ταῦτα γενησομένων τοῖς δυναμένοις λογίζεσθαι πέμπουσι, τὸ λέγειν ἄνευ διόψεως τούτων αὖ τῶν μιμημάτων, μάταιος ἂν εἴη πόνος. ἀλλὰ ταῦτά τε ἱκανῶς ἡμῖν ταύτῃ καὶ τὰ περὶ θεῶν ὁρατῶν καὶ γεννητῶν εἰρημένα φύσεως, ἐχέτω τέλος. Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν, μεῖζον ἢ καθ᾽ ἡμᾶς· πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς

δέ που τοὺς αὑτῶν προγόνους εἰδόσιν. ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καίπερ ἄνευ τε εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ᾽ ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν, ἑπομένους τῷ νόμῳ πιστευτέον. οὕτως οὖν κατ᾽ ἐκείνους ἡμῖν ἡ γένεσις καὶ περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω· Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην· ἐκ τούτων δέ, Φόρκυς τε καὶ Κρόνος καὶ Ῥέα, καὶ ὅσοι μετὰ τούτων· ἐκ δὲ Κρόνου καὶ Ῥέας, Ζεύς, Ἥρα τε, καὶ πάντες ὅσους ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν· ἔτι τε τοὺς τούτων ἄλλους ἐκγόνους. Ἐπεὶ οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθ᾽ ὅσον ἂν ἐθέλωσι θεοί, γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας, τάδε, Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργός, πατήρ τε ἔργων, ἃ δι᾽ ἐμοῦ γενόμενα, ἄλυτα, ἐμοῦ γε θέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν, λυτόν. τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ, λύειν ἐθέλειν, κακοῦ. δι᾽ ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστέ, οὐδ᾽ ἄλυτοι τοπάμπαν· οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως, μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες, ἐκείνων οἷς ὅτ᾽ ἐγίγνεσθε συνεδεῖσθε. νῦν οὖν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρία γενητά. τούτων οὖν μὴ γενομένων, οὐρανὸς ἀτελὴς ἔσται. τὰ γὰρ ἅπαντα ἐν αὑτῷ γένη ζώων οὐχ ἕξει. δεῖ δέ, εἰ μέλλει τέλειος ἱκανῶς εἶναι. δι᾽ ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα,

θεοῖς ἰσάζοιτ' ἄν. ἵν' οὖν θνητά τε ᾖ, τό, τε πᾶν ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμῶν γένεσιν. καὶ καθ' ὅσον μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει, θεῖον λεγόμενον, ἡγεμονοῦν τ' ἐν αὐτοῖς, τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι, σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω. τὸ δὲ λοιπὸν ὑμεῖς, ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε, τροφήν τε διδόντες αὐξάνετε, καὶ φθίνοντα πάλιν δέχεσθε. Ταῦτ' εἶπε· καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων, τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δ' οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. ξυστήσας δὲ τὸ πᾶν, διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις, ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς εἰς ὄχημα, τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς· ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ' αὐτοῦ· δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνων φῦναι ζῶον τὸ θεοσεβέστατον. διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως, τὸ κρεῖττον εἴη γένος τοιοῦτον, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ. ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν προσίοι, τὸ δ' ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι· δεύτερον δέ, ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρω-

τα· πρὸς δὲ τούτοις, φόβον καὶ θυμὸν, ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστῶτα. ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ, ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ συννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα ἕξοι· σφαλεὶς δὲ τούτων, εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβάλλοι. χιλιοστῷ δὲ ἔτει ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσιν καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ βίον ἑκάστη· ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται. μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως, εἴς τινα τοιαύτην ἀεὶ μεταβαλεῖ θηρίου φύσιν· ἀλλάττων τε οὐ πρότερον πόνων λήξει, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως. διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τοῖς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς Ἥλιον, τοὺς δ᾽ εἰς Σελήνην, τοὺς δ᾽ εἰς τὰ ἄλλα ὅσα ὄργανα χρόνου. τὸ δὲ μετὰ τὸν σπόρον, τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητὰ, τό, τε ἐπίλοιπον ὅσον ἐστὶ ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι· τοῦτο καὶ πάνθ᾽ ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασαμένοις ἄρχειν, καὶ κατὰ δύναμιν ὅτικάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾷν ζῶον, ὅτι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοι-

το αἴτιον. Καὶ ὁ μὲν δὴ ταῦτα πάντα διατάξας, ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει· μένοντος δέ, νοήσαντες οἱ παῖδες τὴν τοῦ πατρὸς τάξιν, ἐπείθοντο αὐτῇ, καὶ λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζώου, μιμούμενοι τὸν σφέτερον δημιουργόν, πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια, ὡς ἀποδοθησόμενα πάλιν, εἰς ταὐτὸ λαμβανόμενα ξυνεκόλλων, οὐ τοῖς ἀλύτοις οἷς αὐτοὶ ξυνείχοντο δεσμοῖς, ἀλλὰ διὰ σμικρότητα ἀοράτοις, πυκνοῖς γόμφοις ξυντήκοντες, ἓν ἐξ ἁπάντων ἀπεργαζόμενοι σῶμα ἕκαστον, τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίῤῥυτον σῶμα καὶ ἀπόῤῥυτον. αἱ δέ, εἰς ποταμὸν ἐνδεθεῖσαι πολύν, οὔτ' ἐκράτουν, οὔτ' ἐκρατοῦντο, βίᾳ δ' ἐφέροντο καὶ ἔφερον. ὥστε τὸ μὲν ὅλον κινεῖσθαι ζῶον, ἀτάκτως μὴν ὅπη τύχῃ προϊέναι, καὶ ἀλόγως, τὰς ἓξ ἁπάσας κινήσεις ἔχον. εἴς τε γὰρ τὸ πρόσθεν καὶ ὄπισθεν, καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερά, κάτω τε καὶ ἄνω, καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους πλανώμενα προῄει. πολλοῦ γὰρ ὄντος τοῦ κατακλύζοντος καὶ ἀποῤῥέοντος κύματος, ὃ τὴν τροφὴν παρεῖχεν, ἔτι μείζω θόρυβον ἀπειργάζετο τὰ τῶν προσπιπτόντων παθήματα ἑκάστοις, ὅτε πυρὶ προσκρούσειε τὸ σῶμα τινὸς ἔξωθεν ἀλλοτρίῳ περιτυχόν, ἢ καὶ στερεῷ γῆς, ὑγροῖς τε ὀλισθήμασιν ὑδάτων· εἴτε ζάλῃ πνευμάτων ὑπ' ἀέρος φερομένων καταληφθείη, καὶ ὑπὸ πάντων τούτων διὰ τοῦ σώματος αἱ κινήσεις ἐπὶ τὴν ψυχὴν φερόμεναι προσπίπτοιεν· αἳ δὴ καὶ ἔπειτα διὰ ταῦτα ἐκλήθησάν τε καὶ νῦν ἔτι αἰσθήσεις συνάπασαι κέκληνται. τὸ

δὴ καὶ τότε ἐν τῷ παρόντι πλείστην καὶ μεγίστην παρεχόμεναι κίνησιν, μετὰ τοῦ ῥέοντος ἐνδελεχῶς ὀχετοῦ κινοῦσαι καὶ σφοδρῶς σείουσαι τὰς τῆς ψυχῆς περιόδους, τὴν μὲν ταὐτοῦ παντάπασιν ἐπέδησαν, ἐναντία αὐτῇ ῥέουσαι, καὶ ἐπέσχον ἄρχουσαν καὶ ἰοῦσαν· τὴν δ᾽ αὖ θατέρου διέσεισαν, ὥστε τὰς τοῦ διπλασίου καὶ τριπλασίου τρεῖς ἑκατέρας ἀποστάσεις, καὶ τὰς τῶν ἡμιολίων καὶ ἐπιτρίτων καὶ ἐπογδόων μεσότητας καὶ ξυνδέσεις, ἐπειδὴ παντελῶς αὗται οὐκ ἦσαν καὶ πρὶν ὑπὸ τοῦ ξυνδήσαντος, πάσας μὲν στρέψαι στροφὰς, πάσας δὲ κλάσεις καὶ διαφορὰς τῶν κύκλων ἐμποιεῖν, ὁσαχῇ περ ἦν δυνατόν· ὥστε μετ᾽ ἀλλήλων μόγις συνεχομένας φέρεσθαι μὲν, ἀλόγως δὲ φέρεσθαι, τοτὲ μὲν ἐναντίας, τοτὲ δὲ πλαγίας, τοτὲ ὑπτίας. οἷον ὅταν τὶς ὕπτιος ἐρείσας τὴν κεφαλὴν μὲν ἐπὶ γῆς, τοὺς δὲ πόδας προσβαλὼν ἄνω ἔχῃ πρός τινι, τότε ἐν τούτῳ τῷ πάθει τοῦ τε πάσχοντος καὶ τῶν ὁρώντων, τά τε δεξιὰ, ἀριστερὰ, καὶ τὰ ἀριστερὰ, δεξιὰ, ἑκατέροις τὰ ἑκατέρων φαντάζεται. ταὐτὸ δὴ τοῦτο καὶ τοιαῦτα ἕτερα αἱ περιφοραὶ πάσχουσαι σφοδρῶς, ὅταν γέ τῳ τῶν ἔξωθεν τοῦ ταὐτοῦ γένους ἢ τοῦ θατέρου περιτύχωσι, τότε ταὐτόν τῳ καὶ θάτερόν του, τἀναντία τῶν ἀληθῶν προσαγορεύουσαι, ψευδεῖς καὶ ἀνόητοι γεγόνασιν, οὐδεμία τε ἐν αὐταῖς τότε περίοδος ἄρχουσα οὐδ᾽ ἡγεμών ἐστιν· ἂν δ᾽ αὖ ἔξωθεν αἰσθήσεις τινὲς φερόμεναι καὶ προσπεσοῦσαι ξυνεπισπάσωνται καὶ τὸ τῆς ψυχῆς ἅπαν κύτος, τόθ᾽ αὗται κρατούμεναι, κρατεῖν δοκοῦσι. καὶ διὰ πάν-

τα ταῦτα τὰ πάθη νῦν κατ᾽ ἀρχὰς ἄνους ψυχὴ γίγνεται τοπρῶτον, ὅταν σώματι ἐνδεθῇ θνητῷ· ὅταν δὲ τὸ τῆς αὔξης καὶ τροφῆς ἔλαττον ἐπίῃ ῥεῦμα, πάλιν δὲ αἱ περίοδοι λαμβανόμεναι γαλήνης, τὴν αὑτῶν ὁδὸν ἴωσι, καὶ καθιστῶνται μᾶλλον ἐπιόντος τοῦ χρόνου, τότε ἤδη πρὸς τὸ κατὰ φύσιν ἰόντων σχῆμα ἑκάστων τῶν κύκλων αἱ περιφοραὶ κατευθυνόμεναι, τό, τε θάτερον καὶ τὸ ταὐτὸ προσαγορεύουσαι κατ᾽ ὀρθὸν, ἔμφρονα τὸν ἔχοντα αὐτὰς γιγνόμενον ἀποτελοῦσιν. ἂν μὲν οὖν δὴ καὶ συνεπιλαμβάνηταί τις ὀρθὴ τροφὴ παιδεύσεως, ὁλόκληρος ὑγιής τε παντελῶς, τὴν μεγίστην ἀποφυγὼν νόσον, γίγνεται· καταμελήσας δὲ, χωλὴν τοῦ βίου διαπορευθεὶς ζωὴν, ἀτελὴς καὶ ἀνόητος εἰς ᾅδου πάλιν ἔρχεται. ταῦτα μὲν οὖν ὕστερα ποτὲ γίγνεται. Περὶ δὲ τῶν νῦν προτεθέντων δεῖ διελθεῖν ἀκριβέστερον. τὰ δὲ πρὸ τούτων, περὶ σωμάτων κατὰ μέρη τῆς γενέσεως, καὶ περὶ ψυχῆς, δι᾽ ἅς τε αἰτίας καὶ προνοίας γέγονε θεῶν, τοῦ μάλιστα εἰκότος ἀντεχομένοις, οὕτω καὶ κατὰ ταῦτα πορευομένοις διεξιτέον. τὰς μὲν οὖν θείας περιόδους, δύο οὔσας, τὸ τοῦ παντὸς σχῆμα ἀπομιμησάμενοι, περιφερὲς ὂν, εἰς σφαιροειδὲς σῶμα ἐνέδησαν, τοῦτο ὃ δὴ νῦν κεφαλὴν ἐπονομάζομεν· ὃ θειότατόν τε ἐστὶ καὶ τῶν ἐν ἡμῖν πάντων δεσποτοῦν. ᾧ καὶ πᾶν τὸ σῶμα παρέδοσαν ὑπηρεσίαν αὐτῷ ξυναθροίσαντες θεοὶ, κατανοήσαντες ὅτι πασῶν ὅσαι κινήσεις ἔσοιντο, μετέχοι. ἵν᾽ οὖν μὴ, κυλινδούμενον ἐπὶ γῆς ὕψη τε καὶ βάθη παντοδαπὰ ἐχούσης, ἀποροῖ τὰ

μὲν ὑπερβαίνειν, ἔνθεν δὲ ἐκβαίνειν, ὄχημ' αὐτῷ τοῦτο καὶ εὐπορίαν ἔδοσαν· ὅθεν δὴ μῆκος τὸ σῶμα ἔσχεν, ἐκτατά τε κῶλα καὶ καμπτὰ ἔφυσε τέσσαρα, θεοῦ μηχανησαμένου πορείαν· οἷς ἀντιλαμβανόμενον καὶ ἀπερειδόμενον, διὰ πάντων τόπων πορεύεσθαι δυνατὸν γέγονε, τὴν τοῦ θειοτάτου καὶ ἱερωτάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν. σκέλη μὲν οὖν χεῖρές τε ταύτῃ καὶ διὰ ταῦτα πᾶσι προσέφυ. τοῦ δ' ὄπισθεν τὸ πρόσθεν τιμιώτερον καὶ ἀρχικώτερον νομίζοντες θεοὶ, ταύτῃ τὸ πολὺ τῆς πορείας ἡμῖν ἔδοσαν. ἔδει δὴ διωρισμένον ἔχειν καὶ ἀνόμοιον τὸ πρόσθεν τοῦ σώματος ἄνθρωπον. διὸ πρῶτον μὲν περὶ τὸ τῆς κεφαλῆς κύτος ὑποθέντες αὐτόσε τὸ πρόσωπον, ὄργανα ἐνέδησαν τούτῳ πάσῃ τῇ τῆς ψυχῆς προνοίᾳ, καὶ διετάξαντο μέτοχον ἡγεμονίας τοῦτ' εἶναι τὸ κατὰ φύσιν πρόσθεν. τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα συνετεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ· τοῦ πυρὸς ὅσον τὸ μὲν καίειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον, οἰκεῖον ἑκάστης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίγνεσθαι. τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς, ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον καὶ πυκνὸν, ὅλον μὲν, μάλιστα δὲ τὸ μέσον ξυμπιλήσαντες τῶν ὀμμάτων. ὥστε τὸ μὲν ἄλλο ὅσον παχύτερον, στέγειν πᾶν, τὸ τοιοῦτο δὲ μόνον αὐτὸ καθαρὸν διηθεῖν. ὅταν οὖν μεσημερινὸν ᾖ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότε ἐκπίπτον, ὅμοιον πρὸς ὅμοιον ξυμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν ξυνέστη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃ περ

ἂν ἀντερείδῃ τὸ προσπίπτον ἔνδοθεν, πρὸς ὃ τὸ ἔξω ξυνέπεσεν. ὁμοιοπαθὲς δὴ δι᾽ ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφάπτηται, καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτῳ τὰς κινήσεις διαδιδὸν, εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ᾗ δὴ ὁρᾷν φαμέν. ἀπελθόντος δὲ εἰς νύκτα, τοῦ συγγενοῦς πυρὸς ἀποτέμνηται. πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, συμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γιγνόμενον, ἅτε πῦρ οὐκ ἔχοντι. παύεται δὲ οὖν ὁρῶν, ἔτι δὲ ἐπαγωγὸν γίγνεται ὕπνου. σωτηρίαν γὰρ ἣν οἱ θεοὶ ἕνεκα τῆς ὄψεως ἐμηχανήσαντο, τὴν τῶν βλεφάρων φύσιν, ὅταν ταῦτα ξυμμύσῃ, καθείργνυσι τὴν τοῦ πυρὸς ἔνδον δύναμιν. ἡ δὲ διαχεῖται, καὶ ὁμαλύνει τὰς ἐντὸς κινήσεις· ὁμαλυνθεισῶν δὲ, ἡσυχία γίγνεται. γενομένης δὲ πολλῆς μὲν ἡσυχίας, βραχυόνειρος ὕπνος ἐμπίπτει· καταλειφθεισῶν δέ τινων κινήσεων μειζόνων, οἷαι καὶ ἐν οἵοις ἂν τόποις λείπωνται, τοιαῦτα καὶ τοσαῦτα παρέσχετο ἀφομοιωθέντα ἐντὸς ἔξω τε ἐγερθεῖσιν ἀπομνημονευόμενα φαντάσματα. τὸ δὲ περὶ τὴν τῶν κατόπτρων εἰδωλοποιΐαν, καὶ πάντα ὅσα ἐμφανῆ καὶ λεῖα, κατιδεῖν οὐδὲν ἔτι χαλεπόν. ἐκ γὰρ τῆς ἐκτὸς ἐντός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις, ἑνός τε αὖ περὶ τὴν λειότητα ἑκάστοτε γενομένου, καὶ πολλαχῇ μεταῤῥυθμηθέντος, πάντα τὰ τοιαῦτα ἐξ ἀνάγκης ἐμφαίνεται, τοῦ περὶ τὸ πρόσωπον πυρὸς, τῷ περὶ τὴν ὄψιν πυρὶ, περὶ τὸ λεῖον καὶ λαμπρὸν ξυμπαγεῖ γιγνομένῳ. δεξιὰ δὲ φαντάζεται τὰ ἀριστερὰ,

ὅτι τοῖς ἐναντίοις μέρεσι τῆς ὄψεως περὶ τὰ ἐναντία μέρη γίγνεται ἐπαφὴ, παρὰ τὸ καθεστὼς ἔθος τῆς προσβολῆς. δεξιὰ δὲ, τὰ δεξιὰ, καὶ τὰ ἀριστερὰ, ἀριστερὰ τοὐναντίον, ὅταν μεταπέσῃ ξυμπηγνύμενον ᾧ ξυμπήγνυται φῶς. τοῦτο δὲ, ὅταν ἡ τῶν κατόπτρων λειότης, ἔνθεν καὶ ἔνθεν ὕψη λαβοῦσα, τὸ δεξιὸν εἰς τὸ ἀριστερὸν μέρος ἀπώσῃ τῆς ὄψεως, καὶ θάτερον ἐπὶ θάτερον. κατὰ δὲ τὸ μῆκος στραφὲν τοῦ προσώπου, ταὐτὸν τοῦτο ὕπτιον ἐποίησε πᾶν φαίνεσθαι τὸ κάτω πρὸς τὸ ἄνω τῆς αὐγῆς, τὸ, τ' ἄνω πρὸς τὸ κάτω πάλιν ἀπῶσαν. ταῦτ' οὖν πάντ' ἔστι τῶν ξυναιτίων, οἷς θεὸς ὑπηρετοῦσι χρῆται, τὴν τοῦ ἀρίστου κατὰ τὸ δυνατὸν ἰδέαν ἀποτελῶν. δοξάζεται δὲ ὑπὸ τῶν πλείστων οὐ ξυναίτια ἀλλ' αἴτια εἶναι τῶν πάντων, ψύχοντα καὶ θερμαίνοντα, πηγνύντα τε καὶ διαχέοντα, καὶ ὅσα τοιαῦτα ἀπεργαζόμενα. λόγον δὲ οὐδένα οὐδὲ νοῦν εἰς οὐδὲν δυνατὰ ἔχειν ἐστί. τῶν γὰρ ὄντων ᾧ νοῦν μόνῳ κτᾶσθαι προσήκει, λεκτέον ψυχήν. τοῦτο δὲ ἀόρατον. πῦρ δὲ καὶ ὕδωρ καὶ ἀὴρ καὶ γῆ, σώματα πάντα ὁρατὰ γέγονε. τὸν δὲ νοῦ καὶ ἐπιστήμης ἐραστὴν ἀνάγκη τὰς τῆς ἔμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν. ὅσαι δὲ ὑπ' ἄλλων μὲν κινουμένων, ἕτερα δ' ἐξ ἀνάγκης κινούντων γίγνονται, δευτέρας ποιητέον. καὶ δὴ κατὰ ταῦτα καὶ ἡμῖν λεκτέα μὲν ἀμφότερα τὰ τῶν αἰτίων γένη, χωρὶς δ' ὅσαι μετὰ νοῦ καλῶν καὶ ἀγαθῶν δημιουργοὶ, καὶ ὅσαι μονωθεῖσαι φρονήσεως τὸ τυχὸν ἄτακτον ἑκάστοτε ἐξεργάζονται. τὰ μὲν οὖν τῶν ὀμμάτων ξυμμεταίτια πρὸς

τὸ σχεῖν τὴν δύναμιν ἣν νῦν εἴληχεν εἰρήσθω· τὸ δὲ μέγιστον αὐτῶν εἰς ὠφέλειαν ἔργον, δι᾽ ὃ θεὸς αὔθ᾽ ἡμῖν δεδώρηται, μετὰ τοῦτο ῥητέον. ὄψις δὴ, κατὰ τὸν ἐμὸν λόγον, αἰτία τῆς μεγίστης ὠφελείας γέγονεν ἡμῖν· ὅτι τῶν νῦν λόγων περὶ τοῦ παντὸς λεγομένων οὐδεὶς ἄν ποτε ἐῤῥήθη, μήτε ἄστρα, μήτε ἥλιον, μήτ᾽ οὐρανὸν ἰδόντων. νῦν δ᾽ ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι, μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι μεμηχάνηται μὲν ἀριθμὸν, χρόνου δὲ ἔννοιαν, περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἔδοσαν. ἐξ ὧν ἐποϱισάμεθα φιλοσοφίας γένος· οὗ μεῖζον ἀγαθὸν οὔτ᾽ ἦλθεν οὔθ᾽ ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν. λέγω δὴ τοῦτο ὀμμάτων μέγιστον ἀγαθόν. τἄλλα δὲ ὅσα ἐλάττω τί ἂν ὑμνοῖμεν; ὧν ὁ μὴ φιλόσοφος τυφλωθεὶς, ὀδυρόμενος ἂν θρηνοῖ μάτην. ἀλλὰ τοῦτο λεγέσθω παρ᾽ ἡμῶν, αὐτὰ ἐπὶ ταύτῃ τῇ αἰτίᾳ θεὸν ἡμῖν ἀνευρεῖν· δωρήσασθαί τε ὄψιν, ἵνα τὰς ἐν οὐρανῷ τοῦ νοῦ κατιδόντος περιόδους, χρησαίμεθα ἐπὶ τὰς περιφορὰς τὰς τῆς παρ᾽ ἡμῖν διανοήσεως, συγγενεῖς ἐκείναις οὔσας, ἀταράκτοις τεταραγμένας. ἐκμαθόντες δὲ, καὶ λογισμὸν κατὰ φύσιν ὀρθότητος μετασχόντες, μιμούμενοι τὰς τοῦ Θεοῦ πάντως ἀπλανεῖς οὔσας, τὰς ἐν ἡμῖν πεπλανημένας καταστησαίμεθα. φωνῆς τε δὴ καὶ ἀκοῆς πέρι πάλιν ὁ αὐτὸς λόγος, ἐπὶ ταῦτα τῶν αὐτῶν ἕνεκα παρὰ θεῶν δεδωρῆσθαι. λόγος τε γὰρ ἐπ᾽ αὐτὰ ταῦτα τέτακται, μεγίστην ξυμβαλόμενος εἰς αὐτὰ μοῖραν· ὅσον τ᾽ αὖ μουσικῆς φωνῆς χρήσιμον, πρὸς ἀκοὴν ἕνεκα ἁρμονίας ἐστὶ δοθέν. ἡ δὲ ἁρμονία,

ξυγγενεῖς ἔχουσα φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις, τῷ μετὰ νοῦ προσχρωμένῳ μούσαις, οὐκ ἐφ' ἡδονὴν ἄλογον, καθάπερ νῦν, εἶναι δοκεῖ χρήσιμος, ἀλλ' ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον, εἰς κατακόσμησιν καὶ συμφωνίαν ἑαυτῇ ξύμμαχος ὑπὸ μουσῶν δέδοται· καὶ ῥυθμὸς αὖ, διὰ τὴν ἄμετρον ἐν ἡμῖν καὶ χαρίτων ἐπιδεᾶ γιγνομένην ἐν τοῖς πλείστοις ἕξιν, ἐπίκουρος ἐπὶ ταῦτα ὑπὸ τῶν αὐτῶν ἐδόθη. τὰ μὲν οὖν παρεληλυθότα τῶν εἰρημένων, πλὴν βραχέων, ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα. δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι. μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις, ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγενήθη. νοῦ δὲ ἀνάγκης ἄρχοντος, τῷ πείθειν αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν, ταύτῃ κατὰ ταῦτά δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος, οὕτω κατ' ἀρχὰς ξυνίστατο τόδε τὸ πᾶν. εἴτις οὖν ᾗ γέγονε, κατὰ ταῦτά ὄντως ἐρεῖ, μικτέον καὶ τὸ τῆς πλανωμένης εἶδος αἰτίας, οἷ φέρειν πέφυκεν. ὧδε οὖν πάλιν ἀναχωρητέον· καὶ λαβοῦσιν αὐτῶν τούτων προσήκουσαν ἀρχὴν ἑτέραν αὖθις αὖ, καθάπερ περὶ τῶν τότε, νῦν οὕτω περὶ τούτων πάλιν ἀρκτέον ἀπ' ἀρχῆς. τὴν δὲ πρὸ τῆς οὐρανοῦ γενέσεως, πυρὸς, ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν, θεατέον αὐτὴν, καὶ τὰ πρὸ τούτου πάθη. νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσι πῦρ ὅ, τι ποτέ ἐστι, καὶ ἕκαστον αὐτῶν, λέγομεν ἀρχὰς, αὐτὰ τιθέμενοι στοιχεῖα τοῦ παντός· προσῆκον αὐ-

γούμεθά τι. φεύγει γὰρ οὐχ ὑπομένον τὴν τοῦ τόδε καὶ τὴν τούτου καὶ τὴν τῷδε, καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται φάσις. ἀλλὰ ταῦτα μὲν ἕκαστα μὴ λέγειν· τὸ δὲ τοιοῦτον ἀεὶ περιφερόμενον, ὅμοιον, ἑκάστου πέρι καὶ ξυμπάντων οὕτω καλεῖν· καὶ δὴ καὶ πῦρ τὸ διὰ παντὸς τοιοῦτον, καὶ ἅπαν ὅσον περ ἂν ἔχῃ γένεσιν. ἐν ᾧ δὲ ἐγγιγνόμενα ἕκαστα αὐτῶν φαντάζεται, καὶ πάλιν ἐκεῖθεν ἀπόλλυται, μόνον ἐκεῖνο ἂν προσαγορεύειν, τῷ τε τοῦτο καὶ τῷ τόδε προσχρωμένους ὀνόματι. τὸ δὲ, ὁποιονοῦν τι, θερμὸν ἢ λευκὸν, ἢ καὶ ὁτιοῦν τῶν ἐναντίων, καὶ πάνθ' ὅσα ἐκ τούτων, μηδὲν ἐκεῖνο ἂν τούτων καλεῖν. ἔτι δὲ σαφέστερον αὐτοῦ πέρι προθυμητέον αὖθις εἰπεῖν. εἰ γὰρ πάντα τὶς σχήματα πλάσας ἐκ χρυσοῦ, μηδὲν μεταπλάττων παύοιτο ἕκαστα εἰς ἅπαντα, δεικνύντος δή τινος αὐτῶν ἓν, καὶ προσερομένου τί ποτέ ἐστι, μακρῷ πρὸς ἀλήθειαν ἀσφαλέστατον εἰπεῖν ὅτι χρυσός. τὸ δὲ τρίγωνον, ὅσά τε ἄλλα σχήματα ἐνεγίγνετο, μηδέποτε λέγειν ταῦτα ὡς ὄντα, ἅ γε μεταξὺ τιθεμένου μεταπίπτει· ἀλλ' ἐὰν ἄρα καὶ τὸ τοιοῦτον μετὰ ἀσφαλείας ἐθέλῃ δέχεσθαι τινὸς, ἀγαπᾶν. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως· ταὐτὸν αὐτὴν ἀεὶ προσρητέον. ἐκ γὰρ τῆς ἑαυτῆς τοπαράπαν οὐκ ἐξίσταται δυνάμεως. δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς. ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται, κινούμενόν τε καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰσιόντων.

φαίνεται δὲ δι' ἐκεῖνα ἄλλοτε ἀλλοῖον. τὰ δὲ εἰσιόντα καὶ ἐξιόντα, τῶν ὄντων ἀεὶ μιμήματα, τυπωθέντα ὑπ' αὐτῶν τρόπον τινὰ δύσφραστον καὶ θαυμαστὸν, ὃν εἰσαῦθις μέτιμεν. ἐν δ' οὖν τῷ παρόντι χρὴ γένη διανοηθῆναι τριττά· τὸ μὲν, γιγνόμενον, τὸ δ' ἐν ᾧ γίγνεται, τὸ δ' ὅθεν ἀφομοιούμενον φύεται τὸ γιγνόμενον. καὶ δὴ καὶ προσεικάσαι πρέπει, τὸ μὲν δεχόμενον, μητρὶ, τὸ δ' ὅθεν, πατρί· τὴν δὲ μεταξὺ τούτων φύσιν, ἐκγόνῳ· νοῆσαί τε ὡς οὐκ ἂν ἄλλως ἐκτυπώματος ἔσεσθαι μέλλοντος ἰδεῖν ποικίλου πάσας ποικιλίας, τοῦτ' αὐτὸ ἐν ᾧ ἐκτυπούμενον ἐνίσταται, γένοιτ' ἂν παρεσκευασμένον εὖ, πλὴν ἄμορφον ὂν ἐκείνων ἁπασῶν τῶν ἰδεῶν ὅσας μέλλει δέχεσθαί ποθέν. ὅμοιον γὰρ ὂν τῶν ἐπεισιόντων τινὶ, τὰ τῆς ἐναντίας τά τε τῆς παράπαν ἄλλης φύσεως, ὁπότ' ἔλθοι, δεχόμενον, κακῶς ἂν ἀφομοιοῖ, τὴν αὐτοῦ παρεμφαίνων ὄψιν. διὸ καὶ πάντων ἐκτὸς εἰδῶν εἶναι χρεὼν τὸ τὰ πάντα ἐνδεξόμενον ἐν αὐτῷ γένη· καθάπερ περὶ τὰ ἀλείμματα, ὁπόσα εὐώδη, τὰ δεξόμενα ὑγρὰ τὰς ὀσμάς· ὅσοι τε ἔν τισι τῶν μαλακῶν σχήματα ἀπομάττειν ἐπιχειροῦσι, τοπαράπαν σχῆμα οὐδὲν ἔνδηλον ὑπάρχειν ἐῶσι, προομαλύναντες δὲ, ὅτιλειότατον ἀπεργάζονται. ταὐτὸν οὖν καὶ τῷ τὰ τῶν πάντων ἀεί τε ὄντων, κατὰ πᾶν ἑαυτοῦ, πολλάκις ἀφομοιώματα καλῶς μέλλοντι δέχεσθαι, πάντων ἐκτὸς αὐτῷ προσήκει πεφυκέναι τῶν εἰδῶν. διὸ τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ παντὸς αἰσθητοῦ μητέρα καὶ ὑποδοχὴν, μήτε γῆν, μήτε ἀέρα, μήτε πῦρ, μήτε ὕδωρ λέγωμεν, μήτε ὅσα ἐκ

τούτων, μήτε ἐξ ὧν ταῦτα γέγονεν· ἀλλ᾽ ἀόρατον εἶδός τι καὶ ἄμορφον, πανδεχές. μεταλαμβάνον δὲ ἀπορώτατά πη τοῦ νοητοῦ, καὶ δυσαλωτότατον αὐτὸ λέγοντες, οὐ ψευσόμεθα. καθόσον δὲ ἐκ τῶν προειρημένων δυνατὸν ἐφικνεῖσθαι τῆς φύσεως αὐτοῦ, τῇδ᾽ ἄν τις ὀρθότατα λέγοι. πῦρ μὲν ἑκάστοτε, αὐτοῦ τὸ πεπυρωμένον μέρος φαίνεσθαι· τὸ δὲ ὑγρανθὲν, ὕδωρ. γῆν δὲ καὶ ἀέρα, καθόσον ἂν μιμήματα τούτων δέχηται. λόγῳ δὲ δὴ μᾶλλον τὸ τοιόνδε διοριζομένοις περὶ αὐτῶν διασκεπτέον· ἆρ᾽ ἐστί τι πῦρ αὐτὸ ἐφ᾽ ἑαυτοῦ, καὶ πάντα περὶ ὧν ἀεὶ λέγομεν, οὕτως αὐτὰ καθ᾽ αὑτὰ ἕκαστα ὄντα· ἢ ταῦτα ἅπερ καὶ βλέπομεν, ὅσα τε ἄλλα διὰ τοῦ σώματος αἰσθανόμεθα, μόνα ἐστὶ τοιαύτην ἔχοντα ἀλήθειαν, ἄλλα δὲ οὐκ ἔστι παρὰ ταῦτα οὐδαμῆ οὐδαμῶς· ἀλλὰ μάτην ἑκάστοτε εἶναί τι φαμὲν εἶδος ἑκάστου νοητόν. τὸ δὲ, οὐδὲν ἄρ᾽ ἦν πλὴν λόγος. οὔτε οὖν δὴ τὸ παρὸν, ἄκριτον καὶ ἀδίκαστον ἀφέντα, ἄξιον φάναι διϊσχυριζόμενον ἔχειν οὕτως, οὔτ᾽ ἐπὶ μήκει λόγου πάρεργον ἄλλο μῆκος ἐπεμβλητέον. εἰ δέ τις ὅρος ὁρισθεὶς, μέγας διὰ βραχέων φανείη, τοῦτο μάλιστα καιριώτατον γένοιτ᾽ ἄν. ὧδε οὖν τήν γ᾽ ἐμὴν τίθεμαι ψῆφον αὐτός. εἰ μὲν νοῦς καὶ δόξα ἀληθὴς ἐστὸν δύο γένη, παντάπασιν εἶναι καθ᾽ αὑτὰ ταῦτα, ἀναίσθητα ὑφ᾽ ἡμῶν, εἴδη νοούμενα μόνον· εἰ δ᾽ ὥς τισὶ φαίνεται, δόξα ἀληθὴς νοῦ διαφέροιτο μηδὲν, πάνθ᾽ ὁπόσα ἂν διὰ τοῦ σώματος αἰσθανώμεθα, θετέον βεβαιότατα. δύο δὴ λεκτέον ἐκείνω, διότι χωρὶς γεγόνατον, ἀνομοίως

τε ἔχετον. τὸ μὲν γὰρ αὐτῶν, διὰ διδαχῆς, τὸ δ᾽ ὑπὸ πειθοῦς ἡμῖν ἐγγίγνεται. καὶ τὸ μὲν, ἀεὶ μετὰ ἀληθοῦς λόγου· τὸ δὲ, ἄλογον. καὶ τὸ μὲν, ἀκίνητον πειθοῖ, τὸ δὲ, μεταπειστόν. καὶ τοῦ μὲν πάντα ἄνδρα μετέχειν φατέον, νοῦ δὲ, θεοὺς, ἀνθρώπων δὲ γένος, βραχύ τι. τούτων δὲ οὕτως ἐχόντων, ὁμολογητέον μὲν εἶναι τὸ κατὰ ταὐτὰ ἔχον εἶδος, ἀγέννητον καὶ ανώλεθρον, οὔτε εἰς ἑαυτὸ εἰσδεχόμενον ἄλλο ἄλλοθεν, οὔτε αὐτὸ εἰς ἄλλό ποι ἰόν· ἀόρατον δὲ καὶ ἄλλως ἀναίσθητον, τοῦτο ὃ δὴ νόησις εἴληχεν ἐπισκοπεῖν. τὸ δὲ ὁμώνυμον, ὅμοιόν τε ἐκείνῳ, δεύτερον αἰσθητὸν, γεννητὸν, πεφορημένον ἀεί· γιγνόμενον ἔν τινι τόπῳ, καὶ πάλιν ἐκεῖθεν ἀπολλύμενον· δόξῃ μετ᾽ αἰσθήσεως περιληπτόν. τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας ἀεὶ φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐτὸ δὲ μετ᾽ ἀναισθησίας ἁπτὸν, λογισμῷ τινι νόθῳ μόγις πιστόν. πρὸς ὃ δὲ καὶ ὀνειροπολοῦμεν βλέποντες, καὶ φαμὲν ἀναγκαῖον εἶναί που, τὸ ὂν ἅπαν, ἔν τινι τόπῳ, καὶ κατέχον χώραν τινά· τὸ δὲ μήτε ἐν γῇ, μήτέ που κατ᾽ οὐρανὸν, οὐδὲν εἶναι. ταῦτα δὲ πάντα, καὶ τὰ τούτων ἀδελφὰ, καὶ περὶ τὴν ἄϋπνον καὶ ἀληθῶς φύσιν ὑπάρχουσαν, ὑπὸ ταύτης τῆς ὀνειρώξεως, οὐ δυνατοὶ γιγνόμεθα ἐγερθέντες διοριζόμενοι τἀληθὲς λέγειν, ὡς εἰκόνι μέν· ἐπείπερ οὐδ᾽ αὐτὸ τοῦτο ἐφ᾽ ᾧ γέγονεν, ἑαυτῆς ἐστιν, ἑτέρου δέ τινος ἀεὶ φέρεται φάντασμα. διὰ ταῦτα ἐν ἑτέρῳ προσήκει τινὶ γίγνεσθαι, οὐσίας ἁμωσγέπως ἀντεχομένην, ἢ μηδὲν τοπαράπαν αὐτὴν

εἶναι. τῷ δὲ ὄντως ὄντι βοηθὸς ὁ δι' ἀκριβείας ἀληθὴς λόγος· ὡς ἕως ἄν τι, τὸ μέν, ἄλλο ᾖ, τὸ δέ, ἄλλο, οὐδέτερον ἐν οὐδετέρῳ ποτὲ γεγενημένον, ἓν ἅμα ταὐτὸν καὶ δύο γενήσεσθον. οὗτος μὲν δὴ οὖν παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς, ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὄν τε καὶ χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ, καὶ πρὶν οὐρανὸν γενέσθαι. τὴν δὲ γεννήσεως τιθήνην, ὑγραινομένην καὶ πυρουμένην, καὶ τὰς γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην, καὶ ὅσα τούτοις ἄλλα πάθη ξυνέπεται πάσχουσαν, παντοδαπὴν μὲν ἰδεῖν φαίνεσθαι· διὰ δὲ τὸ μήθ' ὁμοίων δυνάμεων μήτ' ἰσοῤῥόπων ἐμπίπλασθαι, κατ' οὐδὲν αὐτοῖς ἰσοῤῥοπεῖν, ἀλλ' ἀνωμάλως πάντῃ ταλαντουμένην, σείεσθαι μὲν ὑπ' ἐκείνων αὐτὴν, κινουμένην δ' αὖ πάλιν ἐκεῖνα σείειν. τὰ δὲ κινούμενα, ἄλλα ἄλλοσε ἀεὶ φέρεσθαι διακρινόμενα, ὥσπερ τὰ ὑπὸ τῶν πλοκάμων τε καὶ ὀργάνων τῶν περὶ τὴν τοῦ σίτου κάθαρσιν σειόμενα καὶ ἀναλικμώμενα· τὰ μὲν πυκνὰ καὶ βαρέα, ἄλλῃ· τὰ δὲ μανὰ καὶ κοῦφα εἰς ἑτέραν ἵζει φερόμενα ἕδραν. τότε οὕτω τὰ τέτταρα γένη σειόμενα ὑπὸ τῆς δεξαμενῆς, κινουμένης αὐτῆς οἷον ὀργάνου σεισμὸν παρέχοντος, τὰ μὲν ἀνομοιότατα πλεῖστον αὐτὰ ὑφ' αὑτῶν ὁρίζειν, τὰ δ' ὁμοιότατα πάλιν εἰς ταὐτὸ ξυνωθεῖν. διὸ δὴ καὶ χώραν ταῦτα ἄλλα ἄλλην ἴσχειν, πρὶν καὶ τὸ πᾶν ἐξ αὐτῶν διακοσμηθὲν γενέσθαι. καὶ τὸ μὲν δὴ πρὸ τούτου, πάντα ταῦτ' ἔχειν ἀλόγως καὶ ἀμέτρως· ὅτε δ' ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν, πῦρ πρῶτον, καὶ γῆν, καὶ ἀέρα, καὶ

ὕδωρ, ἴχνη μὲν ἔχοντα αὑτῶν ἄττα, παντάπασι μὴν διακείμενα, ὥσπερ εἰκὸς ἔχειν ἅπαν ὅταν ἀπῇ τινος θεός. οὕτω δὲ τότε πεφυκότα ταῦτα, πρῶτον διεσχηματίσατο εἴδεσι καὶ ἀριθμοῖς. τὸ δὲ ᾗ δυνατὸν ὡς κάλλιστά τε καὶ ἄριστα ἐξ οὐχ οὕτως ἐχόντων, τὸν θεὸν αὐτὰ ξυνιστάναι, περὶ πάντα ἡμῖν ὡς ἀεὶ τοῦτο λεγόμενον ὑπαρχέτω. νῦν δ' οὖν τὴν διάταξιν αὐτῶν ἐπιχειρητέον ἑκάστων καὶ γένεσιν ἀήθει λόγῳ πρὸς ὑμᾶς δηλοῦν. ἀλλὰ γὰρ ἐπεὶ μετέχετε τῶν κατὰ παίδευσιν ὁδῶν, δι' ὧν ἐνδείκνυσθαι τὰ λεγόμενα ἀνάγκη, συνέψεσθε. πρῶτον μὲν δὴ πῦρ καὶ γῆ καὶ ὕδωρ καὶ ἀήρ, ὅτι σώματά ἐστι, δῆλόν που καὶ παντί. τὸ δὲ τοῦ σώματος εἶδος πᾶν, καὶ βάθος ἔχει. τὸ δὲ βάθος αὖ πᾶσα ἀνάγκη τὴν ἐπίπεδον περιειληφέναι φύσιν. ἡ δὲ ὀρθὴ τῆς ἐπιπέδου βάσεως ἐκ τριγώνων συνέστηκε. τὰ δὲ τρίγωνα ἅπαντα ἐκ δυοῖν ἄρχονται, μίαν μὲν ὀρθὴν ἔχοντος ἑκατέρου γωνίαν, τὰς δὲ δύο, ὀξείας. ὧν τὸ μὲν ἕτερον ἑκατέρωθεν ἔχει μέρος γωνίας ὀρθῆς, πλευραῖς ἴσαις διῃρημένης· τὸ δὲ ἕτερον, ἀνίσοις ἄνισα μέρη νενεμημένης. ταύτην δὲ πυρὸς ἀρχὴν καὶ τῶν ἄλλων σωμάτων ὑποτιθώμεθα, κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι. τὰς δέ τι τούτων ἀρχὰς ἄνωθεν θεὸς οἶδε, καὶ ἀνδρῶν ὃς ἂν ἐκείνῳ φίλος ᾖ. δεῖ δὴ λέγειν ποῖα κάλλιστα σώματα γένοιτ' ἂν τέτταρα, ἀνόμοια μὲν ἑαυτοῖς, δυνατὰ δὲ ἐξ ἀλλήλων αὐτῶν ἄττα διαλυόμενα γίγνεσθαι. τούτου γὰρ τυχόντες, ἔχοιμεν τὴν ἀλήθειαν γενέσεως πέρι γῆς καὶ πυρὸς, τῶν τε ἀνάλογον ἐν μέσῳ. τότε γὰρ οὐδενὶ συγχωρησόμε-

ξυστήσεται, δεχόμενα τὰ προσήκοντα σχήματα ἑαυτοῖς· καὶ σμικρὰ ὅταν αὖ πολλὰ κατὰ τρίγωνα διασπαρῇ, γενόμενος εἷς ἀριθμὸς, ἑνὸς ὄγκου μέγα ἀποτελέσειεν αὖ ἄλλο εἶδος ἕν. ταῦτα μὲν οὖν λελέχθω περὶ τῆς εἰς ἄλληλα γενέσεως. Οἷον δὲ ἕκαστον αὐτῶν γέγονεν εἶδος, καὶ ἐξ ὧν ξυμπεσόντων ἀριθμῶν, λέγειν ἂν ἑπόμενον εἴη. ἄρξει δὲ τό, τε πρῶτον εἶδος καὶ σμικρότατον ξυνιστάμενον. στοιχεῖον δ' αὐτοῦ τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευρᾶς διπλασίαν ἔχον μήκει, ξύνδυο δὲ τούτων κατὰ διάμετρον ξυντιθεμένων, καὶ τρὶς τούτου γενομένου, τὰς διαμέτρους καὶ τὰς βραχείας πλευρὰς εἰς ταὐτὸν, ὡς κέντρον, ἐρεισάντων, ἓν ἰσόπλευρον τρίγωνον ἐξ ἓξ τὸν ἀριθμὸν ὄντων γέγονε. τρίγωνα δὲ ἰσόπλευρα ξυνιστάμενα τέτταρα, κατὰ σύντρεις ἐπιπέδους γωνίας, μίαν στερεὰν γωνίαν ποιεῖ, τῆς ἀμβλυτάτης τῶν ἐπιπέδων γωνιῶν ἐφεξῆς γεγονυῖαν. τοιούτων δὲ ἀποτελεσθεισῶν τεττάρων, πρῶτον εἶδος στερεὸν, ὅλου περιφεροῦς διανεμητικὸν εἰς ἴσα μέρη καὶ ὅμοια, ξυνίσταται· δεύτερον δὲ, ἐκ μὲν τῶν αὐτῶν τριγώνων. κατὰ δὲ ἰσόπλευρα τρίγωνα ὀκτὼ ξυστάντων, μίαν ἀπεργασαμένων στερεὰν γωνίαν, ἐκ τεττάρων ἐπιπέδων, καὶ γενομένων ἓξ τοιούτων, τὸ δεύτερον αὖ σῶμα οὕτως ἔσχε τέλος. τὸ δὲ τρίτον, ἐκ δὶς ἑξήκοντα τῶν στοιχείων ξυμπαγέντων, στερεῶν δὲ γωνιῶν δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχομένης ἑκάστης, εἴκοσι βάσεις ἔχων ἰσοπλεύρους γέγονεν. καὶ τὸ μὲν ἕτερον ἀπήλλακτο τῶν στοιχείων, γεννῆσαν ταῦτα. τὸ δὲ ἰσοσκελὲς τρίγω-

θα, καλλίω τούτων ὁρώμενα σώματα εἶναί που καθ' ἓν γένος ἕκαστον ὄν. τοῦτο οὖν προθυμητέον, τὰ διαφέροντα κάλλει σωμάτων τέτταρα γένη συναρμόσασθαι, καὶ φάναι τὴν τούτων ἡμᾶς φύσιν ἱκανῶς εἰληφέναι. τοῖν δὲ δυοῖν τριγώνοιν τὸ μὲν ἰσοσκελὲς μίαν εἴληχε φύσιν, τὸ δὲ πρόμηκες, ἀπεράντους. προαιρετέον οὖν αὖ τῶν ἀπείρων τὸ κάλλιστον, εἰ μέλλομεν ἄρξεσθαι κατὰ τρόπον. ἂν οὖν τις ἔχῃ κάλλιον ἐκλεξάμενος εἰπεῖν εἰς τὴν τούτων ξύστασιν, ἐκεῖνος οὐκ ἐχθρὸς ὤν, ἀλλὰ φίλος, κρατοῖ. τιθέμεθα δ' οὖν τῶν πολλῶν τριγώνων κάλλιστον ἕν, ὑπερβάντες τἆλλα, ἐξ οὗ τὸ ἰσόπλευρον τρίγωνον ἐκ τρίτων συνέστηκε. διότι δὲ ὁ λόγος πλείων. ἀλλὰ τῷ τοῦτο ἐλέγξαντι καὶ ἀνευρόντι δὲ μὴ οὕτως ἔχον, κεῖται φίλια τὰ ἆθλα. προῃρήσθω δὲ δύο τρίγωνα, ἐξ ὧν τό, τε τοῦ πυρὸς καὶ τὰ τῶν ἄλλων σώματα μεμηχάνηται· τὸ μὲν, ἰσοσκελές· τὸ δέ, τριπλῆν κατὰ δύναμιν ἔχον τῆς ἐλάττονος τὴν μίαν πλευρὰν ἀεί. τὸ δὲ πρόσθεν οὐκ ἀσφαλῶς ῥηθέν, νῦν μᾶλλον διοριστέον. τὰ γὰρ τέτταρα γένη δι' ἀλλήλων εἰς ἄλληλα ἐφαίνετο πάντα γένεσιν ἔχειν, οὐκ ὀρθῶς φανταζόμενα. γίγνεται μὲν γὰρ ἐκ τῶν τριγώνων ὧν προῃρήμεθα, γένη τέτταρα· τρία μέν, ἐξ ἑνὸς τοῦ τὰς πλευρὰς ἀνίσους ἔχοντος· τὸ δὲ τέταρτον ἓν μόνον, ἐκ τοῦ ἰσοσκελοῦς τριγώνου ξυναρμοσθέν. οὔκουν δυνατὰ πάντα, εἰς ἄλληλα διαλυόμενα, ἐκ πολλῶν σμικρῶν, ὀλίγα μεγάλα, καὶ τοὐναντίον, γίγνεσθαι. τὰ δὲ τρία, οἷόν τε. ἐκ γὰρ ἑνὸς ἅπαντα πεφυκότα, λυθέντων τε τῶν μειζόνων, πολλὰ σμικρὰ ἐκ τῶν αὐτῶν

ξυστήσεται, δεχόμενα τὰ προσήκοντα σχήματα ἑαυτοῖς· καὶ σμικρὰ ὅταν αὖ πολλὰ κατὰ τρίγωνα διασπαρῇ, γενόμενος εἷς ἀριθμὸς, ἑνὸς ὄγκου μέγα ἀποτελέσειεν αὖ ἄλλο εἶδος ἕν. ταῦτα μὲν οὖν λελέχθω περὶ τῆς εἰς ἄλληλα γενέσεως. Οἷον δὲ ἕκαστον αὐτῶν γέγονεν εἶδος, καὶ ἐξ ὧν ξυμπεσόντων ἀριθμῶν, λέγειν ἂν ἑπόμενον εἴη. ἄρξει δὲ τό, τε πρῶτον εἶδος καὶ σμικρότατον ξυνιστάμενον. στοιχεῖον δ' αὐτοῦ τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευρᾶς διπλασίαν ἔχον μήκει, ξύνδυο δὲ τούτων κατὰ διάμετρον ξυντιθεμένων, καὶ τρὶς τούτου γενομένου, τὰς διαμέτρους καὶ τὰς βραχείας πλευρὰς εἰς ταὐτὸν, ὡς κέντρον, ἐρεισάντων, ἓν ἰσόπλευρον τρίγωνον ἐξ ἓξ τὸν ἀριθμὸν ὄντων γέγονε. τρίγωνα δὲ ἰσόπλευρα ξυνιστάμενα τέτταρα, κατὰ σύντρεις ἐπιπέδους γωνίας, μίαν στερεὰν γωνίαν ποιεῖ, τῆς ἀμβλυτάτης τῶν ἐπιπέδων γωνιῶν ἐφεξῆς γεγονυῖαν. τοιούτων δὲ ἀποτελεσθεισῶν τεττάρων, πρῶτον εἶδος στερεὸν, ὅλου περιφεροῦς διανεμητικὸν εἰς ἴσα μέρη καὶ ὅμοια, ξυνίσταται· δεύτερον δὲ, ἐκ μὲν τῶν αὐτῶν τριγώνων. κατὰ δὲ ἰσόπλευρα τρίγωνα ὀκτὼ ξυστάντων, μίαν ἀπεργασαμένων στερεὰν γωνίαν, ἐκ τεττάρων ἐπιπέδων, καὶ γενομένων ἓξ τοιούτων, τὸ δεύτερον αὖ σῶμα οὕτως ἔσχε τέλος. τὸ δὲ τρίτον, ἐκ δὶς ἑξήκοντα τῶν στοιχείων ξυμπαγέντων, στερεῶν δὲ γωνιῶν δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχομένης ἑκάστης, εἴκοσι βάσεις ἔχων ἰσοπλεύρους γέγονεν. καὶ τὸ μὲν ἕτερον ἀπήλλακτο τῶν στοιχείων, γεννῆσαν ταῦτα. τὸ δὲ ἰσοσκελὲς τρίγω-

νον ἐγέννα τὴν τοῦ τετάρτου φύσιν, κατὰ τέτταρα ξυνιστάμενον, εἰς τὸ κέντρον τὰς ὀρθὰς γωνίας συνάγον, ἓν ἰσόπλευρον τετράγωνον ἀπεργασάμενον. ἓξ δὲ τοιαῦτα συμπαγέντα, γωνίας ὀκτὼ στερεὰς ἀπετέλεσε, κατὰ τρεῖς ἐπιπέδους ὀρθὰς ξυναρμοσθείσης ἑκάστης. τὸ δὲ σχῆμα τοῦ ξυστάντος σώματος, γέγονεν κυβικὸν, ἓξ ἐπιπέδους τετραγώνους ἰσοπλεύρους βάσεις ἔχον. ἔτι δὲ οὔσης ξυστάσεως μιᾶς πέμπτης, ἐπὶ τὸ πᾶν ὁ θεὸς αὐτῇ κατεχρήσατο, ἐκεῖνα διαζωγραφῶν. ἃ δή τις εἰ πάντα λογιζόμενος ἐμμελῶς, ἀπορεῖ πότερον ἀπείρους χρὴ κόσμους εἶναι λέγειν, ἢ πέρας ἔχοντας, τὸ μὲν ἀπείρους, ἡγήσαιτ᾽ ἂν ὄντως ἀπείρου τινὸς εἶναι δόγμα ὧν ἔμπειρον χρεὼν εἶναι· πότερον δὲ ἕνα ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν προσήκει, μᾶλλον αὖ, ταύτῃ στὰς, εἰκότως διαπορήσαι. τὸ μὲν οὖν δὴ παρ᾽ ἡμῶν, ἕνα αὐτὸν κατὰ τὸν εἰκότα λόγον πεφυκότα μηνύει· ἄλλος δὲ, εἰς ἄλλά πη ἀποβλέψας, ἕτερα δοξάσει. καὶ τούτων μὲν μεθετέον. Τὰ δὲ γεγονότα νῦν τῷ λόγῳ γένη διανείμωμεν εἰς πῦρ, καὶ γῆν, καὶ ὕδωρ, καὶ ἀέρα. γῇ μὲν τὸ κυβικὸν εἶδος δῶμεν. ἀκινητοτάτη γὰρ τῶν τεττάρων γενῶν γῆ, καὶ τῶν σωματικῶν πλαστικωτάτη. μάλιστα δὲ ἀνάγκη γεγονέναι τοιοῦτον, τὸ τὰς βάσεις ἀσφαλεστάτας ἔχον. βάσις δὲ ἥ τε τῶν κατ᾽ ἀρχὰς τριγώνων ὑποτεθέντων, ἀσφαλεςέρα κατὰ φύσιν, ἡ τῶν ἰσοπλεύρων, τῆς τῶν ἀνίσων· τό, τε ἐξ ἑκατέρου ξυντεθὲν ἐπίπεδον, ἰσόπλευρον ἰσοπλεύρου, τετράγωνον τριγώνου, κατά τε μέρη καὶ καθ᾽ ὅλον στασιμωτέρως ἐξ ἀνάγκης βέβηκε. διὸ γῆ

μὲν τοῦτο ἀπονέμοντες, τὸν εἰκότα λόγον διασώζομεν· ὕδατι δ' αὖ, τὸ δυσκινητότατον εἶδος· τὸ δ' εὐκινητότατον, πυρί· τὸ δὲ μέσον, ἀέρι. καὶ τὸ μὲν σμικρότατον σῶμα, πυρί· τὸ δ' αὖ μέγιστον, ὕδατι· τὸ δὲ μέσον, ἀέρι. καὶ τὸ μὲν ὀξύτατον αὖ, πυρί· τὸ δὲ δεύτερον, ἀέρι· τὸ δὲ τρίτον, ὕδατι. ταῦτ' οὖν δὲ πάντα, τὸ μὲν ἔχον ὀλιγίστας βάσεις, εὐκινητότατον ἀνάγκη πεφυκέναι, τμητικώτατόν τε, ὀξύτατον ὂν πάντη πάντων· ἔτι τε ἐλαφρότατον, ἐξ ὀλιγίστων ξυνεστὼς τῶν αὐτῶν μερῶν· τὸ δὲ δεύτερον, δευτέρως τὰ αὐτὰ ταῦτ' ἔχειν. τρίτως δὲ τὸ τρίτον. ἔστω δέ, κατὰ τὸν ὀρθὸν λόγον καὶ κατὰ τὸν εἰκότα, τὸ μὲν τῆς πυραμίδος στερεὸν γεγονὸς εἶδος, πυρὸς στοιχεῖον καὶ σπέρμα· τὸ δὲ δεύτερον κατὰ γένεσιν, εἴπωμεν ἀέρος· τὸ δὲ τρίτον, ὕδατος. πάντα οὖν δεῖ ταῦτα διανοεῖσθαι σμικρὰ οὕτως, ὡς καθ' ἓν ἕκαστον μὲν τοῦ γένους ἑκάστου, διὰ σμικρότητα οὐδὲν ὁρώμενον ὑφ' ἡμῶν· συναθροισθέντων δὲ πολλῶν, τοὺς ὄγκους αὐτῶν ὁρᾶσθαι. καὶ δὴ τὸ τῶν ἀναλογιῶν περί τε τὰ πλήθη καὶ τὰς κινήσεις, καὶ τὰς ἄλλας δυνάμεις, πανταχῇ τὸν θεόν, ὅπη περ ἡ τῆς ἀνάγκης ἑκοῦσα πεισθεῖσά τε φύσις ὑπεῖξε, ταύτῃ πάντη δι' ἀκριβείας ἀποτελεσθεισῶν ὑπ' αὐτοῦ, ξυνηρμόσθαι ταῦτα ἀνάλογον. ἐκ δὲ πάντων τῶν περὶ τὰ γένη προειρήκαμεν, ὧδ' ἂν κατὰ τὸ εἰκὸς μάλιστ' ἔχοι. Γῆ μὲν ξυντυγχάνουσα πυρί, διαλυθεῖσά τε ὑπὸ τῆς ὀξύτητος αὐτοῦ φέροιτ' ἄν, εἴτ' ἐν αὐτῷ πυρὶ λυθεῖσα, εἴτ' ἐν ἀέρος, εἴτ' ἐν ὕδατος ὄγκῳ τύχοι· μέχρι περ αὐτῆς πη ξυντυχόντα τὰ μέ-

ρη, πάλιν ξυναρμοσθέντα αὐτὰ αὐτοῖς, γῆ γένοιτο. οὐ γὰρ εἰς ἄλλο γε εἶδος ἔλθοι ποτ᾽ ἄν. Ὕδωρ δὲ ὑπὸ πυρὸς μερισθὲν, εἴτε καὶ ὑπ᾽ ἀέρος ἐγχωρεῖ γίγνεσθαι ξυστάντα, ἓν μὲν πυρὸς σῶμα, δύο δὲ, ἀέρος. τὰ δὲ ἀέρος τμήματα ἐξ ἑνὸς μέρους διαλυθέντος, δύ᾽ ἂν γενοίσθην σώματα πυρός. καὶ πάλιν, ὅταν ἀέρι πῦρ ὕδατί τε ἤ τινι γῇ περιλαμβανόμενον, ἐν πολλοῖς ὀλίγον κινούμενον, ἐν φερομένοις μαχόμενον καὶ νικηθὲν καταθραυσθῇ, δύο πυρὸς σώματα εἰς ἓν ξυνίστασθον εἶδος ἀέρος· καὶ κρατηθέντος ἀέρος, κερματισθέντος τε ἐκ δυοῖν ὅλοιν, καὶ ἡμίσεως ὕδατος, εἶδος ἓν ὅλον ἔσται ξυμπαγές. ὧδε γὰρ δὴ λογισώμεθα αὐτὰ πάλιν, ὡς ὅταν ἐν πυρὶ λαμβανόμενον τῶν ἄλλων ὑπ᾽ αὐτοῦ τι γένος, τῇ τῶν γωνιῶν καὶ κατὰ τὰς πλευρὰς ὀξύτητι τέμνηται, ξυστὰν μὲν εἰς τὴν ἐκείνου φύσιν, πέπαυται τεμνόμενον. τὸ γὰρ ὅμοιον καὶ ταὐτὸν αὐτῷ γένος ἕκαστον, οὔτε τινὰ μεταβολὴν ἐμποιῆσαι δυνατὸν, οὔτε τι παθεῖν ὑπὸ τοῦ κατὰ ταὐτὰ ὁμοίως τε ἔχοντος, οὔτε τι δράσαι δύναται. ἕως δ᾽ ἂν εἰς ἄλλο τι γιγνόμενον ἧττον ὂν, κρείττονι μάχηται, λυόμενον οὐ παύεται. τά τε αὖ σμικρότερα ὅταν ἐν τοῖς μείζοσι πολλοῖς περιλαμβανόμενα ὀλίγα, διαθραυόμενα κατασβεννύηται, ξυνίστασθαι μὲν ἐθέλοντα εἰς τὴν τοῦ κρατοῦντος ἰδέαν, πέπαυται κατασβεννύμενα· γίγνεταί τε ἐκ πυρὸς ἀὴρ, ἐξ ἀέρος, ὕδωρ· ἂν δ᾽ εἰς ταῦτα ἢ καὶ τῶν ἄλλων τινὶ ξυνιὸν γενῶν μάχηται, λυόμενα οὐ παύεται, πρὶν ἢ παντάπασιν ὠθούμενα, διαλυτὰ ὄντα, ἐκφύγοι πρὸς τὸ ξυγγενὲς, ἢ νικηθέντα, ἓν ἐκ πολλῶν ὅ-

μοιον τῷ κρατήσαντι γενόμενον, αὐτοῦ σύνοικον μείνῃ. καὶ δὴ καὶ κατὰ ταῦτα παθήματα διαμείβεται τὰς χώρας ἅπαντα. διέστηκε μὲν γὰρ τοῦ γένους ἑκάςου τὰ πλήθη κατὰ τόπον ἴδιον, διὰ τὴν τῆς δεχομένης κίνησιν· τὰ δὲ ἀνομοιούμενα φέρεται διὰ τὸν σεισμὸν πρὸς τὸν ἐκείνων οἷς ἂν ὁμοιωθῇ τόπον. ὅσα μὲν οὖν ἄκρατα καὶ πρῶτα σώματα, διὰ τοιούτων αἰτίων γέγονε· τοῦ δ᾽ ἐν τοῖς εἴδεσιν αὐτῶν ἕτερα ἐμπεφυκέναι γένη, τὴν ἑκατέρου τῶν στοιχείων αἰτιατέον ξύστασιν, μὴ μόνον ἓν ἑκατέραν μέγεθος ἔχον τὸ τρίγωνον φυτεῦσαι κατ᾽ ἀρχὰς, ἀλλὰ ἐλάττω τε καὶ μείζω· τὸν ἀριθμὸν δὲ ἔχοντα τοσοῦτον, ὅσα περ ἂν ᾖ τἀν τοῖς εἴδεσι γένη. διὸ δὲ συμμιγνύμενα αὐτά τε πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα, τὴν ποικιλίαν ἐστὶν ἄπειρα· ἧς γε δεῖ θεωροὺς γίγνεσθαι τοὺς μέλλοντας περὶ φύσεως εἰκότι λόγῳ χρήσεσθαι. κινήσεως οὖν ξυστάσεώς τε πέρι, τίνα τρόπον καὶ μεθ᾽ ὥντινων γίγνεσθον, εἰ μή τις διομολογήσεται, πόλλ᾽ ἂν εἴη ἐμποδὼν τῷ κατόπισθεν λογισμῷ. τὰ μὲν οὖν ἤδη περὶ αὐτῶν εἴρηται· πρὸς δὲ ἐκείνοις, ἔτι τάδε· ἐν μὲν ὁμαλότητι μηδέποτε ἐθέλειν κίνησιν εἶναι. τὸ γὰρ κινησόμενον, ἄνευ τοῦ κινήσοντος, ἢ τὸ κινῆσον, ἄνευ τοῦ κινησομένου, χαλεπὸν, μᾶλλον δὲ ἀδύνατον εἶναι. κίνησις δὲ οὐκ ἔστι τούτων ἀπάντων. ταῦτα δὲ ὁμαλὰ εἶναι ποτὲ, ἀδύνατον. οὕτω δὲ στάσιν μὲν ἐν ὁμαλότητι, κίνησιν δὲ εἰς ἀνωμαλότητα ἀεὶ τιθῶμεν. αἰτία δὲ ἡ ἀνισότης αὖ τῆς ἀνωμάλου φύσεως. ἀνισότητος δὲ γένεσιν μὲν διεληλύθαμεν· πῶς δέ ποτε οὐ κατὰ γένη διαχωρισθέντα ἕκαστα πέπαυται

τῆς δι' ἀλλήλων κινήσεως καὶ φορᾶς, οὐκ εἴπομεν. ὧδε οὖν πάλιν ἐροῦμεν. ἡ τοῦ παντὸς περίοδος, ἐπειδὴ συμπεριέλαβε τὰ γένη, κυκλοτερὴς οὖσα, καὶ πρὸς αὑτὴν πεφυκυῖα βούλεσθαι ξυνιέναι, σφίγγει πάντα, καὶ κενὴν χώραν οὐδεμίαν ἐᾷ λείπεσθαι. διὸ δὴ πῦρ μὲν εἰς πάντα διελήλυθε μάλιστα, ἀὴρ δὲ δευτέρως, ὡς λεπτότητι δεύτερος ἔφυ· καὶ τἄλλα ταύτῃ. τὰ γὰρ ἐκ μεγίστων μερῶν γεγονότα μεγίστην κενότητα ἐν τῇ ξυστάσει παραλέλοιπε, τὰ δὲ σμικρότατα, ἐλαχίστην. ἡ δὴ τῆς πιλήσεως ξύνοδος τὰ σμικρὰ εἰς τὰ τῶν μεγάλων διάκενα ξυνωθεῖ. σμικρῶν οὖν παρὰ μεγάλα τιθεμένων, καὶ τῶν ἐλαττόνων τὰ μείζονα διακρινόντων, τῶν δὲ μειζόνων ἐκεῖνα συγκρινόντων, πάντ' ἄνω καὶ κάτω μεταφέρεται πρὸς τοὺς ἑαυτῶν τόπους. μεταβάλλον γὰρ τὸ μέγεθος ἕκαστον, καὶ τὴν τῶν τόπων μεταβάλλει στάσιν. οὕτω δὲ διὰ ταῦτά τε ἡ τῆς ἀνωμαλότητος διασωζομένη γένεσις ἀεὶ, τὴν ἀεὶ κίνησιν τούτων οὖσαν ἐσομένην τε καὶ ἐνδελεχῶς παρέχεται. μετὰ δὴ ταῦτα δεῖ νοεῖν ὅτι πυρός τε γένη πολλὰ γέγονεν· οἷον, φλὸξ, τό, τε ἀπὸ τῆς φλογὸς ἄπτον, ὃ κάει μὲν, οὐ φῶς δὲ τοῖς ὄμμασι παρέχει· τό, τε, φλογὸς ἀποσβεσθείσης, ἐν τοῖς διαπύροις καταλειπόμενον αὐτοῦ. κατὰ ταὐτὰ δὲ, ἀέρος τὸ μὲν εὐαγέστατον, ἐπίκλην αἰθὴρ καλούμενος· ὁ δὲ θολερώτατος, ὁμίχλη τε καὶ σκότος. ἕτερά τε ἀνώνυμα ἤδη γεγονότα, διὰ τὴν τῶν τριγώνων ἀνισότητα. τὰ δὲ ὕδατος, διχῇ μὲν πρῶτον· τὸ μὲν, ὑγρὸν, τὸ δὲ χυτὸν γένος αὐτοῦ. τὸ μὲν οὖν ὑγρὸν, διὰ τὸ μετέχον εἶναι τῶν γενῶν τοῦ ὕδατος, ὅσα σμι-

κρὰ ἀνίσων ὄντων, κινητὸν, αὐτό τε καθ᾽ αὑτὸ καὶ ὑπ᾽ ἄλλου, διὰ τὴν ἀνωμαλότητα καὶ τὴν τοῦ σχήματος ἰδέαν, γέγονε· τὸ δ᾽ ἐκ μεγάλων καὶ ὁμαλῶν, στασιμώτερον μὲν ἐκείνου καὶ βαρὺ, πεπηγὸς ὑπὸ ὁμαλότητος ἐστίν. ὑπὸ δὲ πυρὸς ἐσιόντος καὶ διαλύοντος αὐτὸ, τὴν ὁμαλότητα ἀπολέσαν, μετίσχει μᾶλλον κινήσεως· γενόμενον δὲ εὐκίνητον, ὑπὸ τοῦ πλησίον ἀέρος ὠθούμενον, καὶ κατατεινόμενον ἐπὶ γῆν, τήκεσθαι μὲν τὴν τῶν ὄγκων καθαίρεσιν, ῥοὴν δὴ, τὴν κατάστασιν ἐπὶ γῆν, ἐπωνυμίαν ἑκατέρου τοῦ πάθους ἔλαβε. πάλιν δὲ ἐκπίπτοντος αὐτόθεν τοῦ πυρὸς, ἅτε οὐκ εἰς κενὸν ἐξιόντος, ὠθούμενος ὁ πλησίον ἀὴρ, εὐκίνητον ἔτι ὄντα τὸν ὑγρὸν ὄγκον εἰς τὰς τοῦ πυρὸς ἕδρας συνωθῶν, αὐτὸν αὑτῷ ξυμμίγνυσιν. ὁ δὲ, συνωθούμενος, ἀπολαμβάνων τε τὴν ὁμαλότητα πάλιν, ἅτε τοῦ τῆς ἀνωμαλότητος δημιουργοῦ πυρὸς ἀπιόντος, εἰς ταὐτὸν αὑτῷ καθίσταται. καὶ τὴν μὲν τοῦ πυρὸς ἀπαλλαγὴν, ψύξιν· τὴν δὲ ξύνοδον ἐκείνου ἀπελθόντος, πεπηγὸς εἶναι γένος προσεῤῥήθη. τούτων δὴ πάντων ὅσα χυτὰ προσείπομεν ὕδατα, τὸ μὲν ἐκ λεπτοτάτων καὶ ὁμαλωτάτων πυκνότατον γιγνόμενον, μονοειδὲς γένος, στίλβοντι καὶ ξανθῷ χρώματι κοινωθὲν, τιμαλφέστατον κτῆμα χρυσὸς, ἠθημένος διὰ πέτρας ἐπάγη. χρυσοῦ δὲ ὄζος, διὰ πυκνότητα σκληρότατον ὂν καὶ μελανθὲν, ἀδάμας ἐκλήθη. τὸ δ᾽ ἐγγὺς μὲν χρυσοῦ τῶν μερῶν, εἴδη δὲ πλέον ἑνὸς ἔχον, πυκνότητι μὲν, χρυσοῦ πυκνότερον ὂν, καὶ γῆς μόριον ὀλίγον καὶ λεπτὸν μετασχὸν, ὥστε σκληρότερον εἶναι· τὸ δὲ με-

γάλα ἐντὸς αὑτοῦ διαλείμματα ἔχειν, κουφότερον τῶν λαμπρῶν, πηκτῶν τε ἓν γένος ὑδάτων χαλκὸς ξυσταθεὶς γέγονε. τὸ δ' ἐκ γῆς αὐτὸ μιχθὲν, ὅταν παλαιουμένω διαχωρίζησθον πάλιν ἀπ' ἀλλήλων, ἐκφανὲς καθ' αὑτὸ γιγνόμενον, ἰὸς λέγεται. τἄλλα δὲ τῶν τοιούτων οὐδὲν ποικίλον ἐστὶ διαλογίσασθαι, τὴν τῶν εἰκότων μύθων μεταδιώκοντα ἰδέαν· ἣν ὅταν τὶς, ἀναπαύσεως ἕνεκα τοὺς περὶ τῶν ὄντων ἀεὶ καταθέμενος λόγους, τοὺς γενέσεως πέρι, διαθεώμενος εἰκότας, ἀμεταμέλητον ἡδονὴν κτᾶται, μέτριον ἂν ἐν τῷ βίῳ παιδιὰν καὶ φρόνιμον ποιοῖτο. ταύτῃ δὴ καὶ τανῦν ἐφέντες, τὸ μετὰ τοῦτο τῶν αὐτῶν πέρι τὰ ἑξῆς εἰκότα δῖιμεν τῇδε. τὸ πυρὶ μεμιγμένον ὕδωρ, ὅσον λεπτὸν ὑγρόν τε, διὰ τὴν κίνησιν καὶ τὴν ὁδὸν ἣν κυλινδούμενον ἐπὶ γῆς ὑγρὸν λέγεται, μαλακόν τε αὖ, τῷ τὰς βάσεις ἧττον ἑδραίας οὔσας ἢ τὰς γῆς, ὑπείκειν. τοῦτο δ' ὅταν πυρὸς ἀποχωρισθὲν ἀέρος τε μονωθῇ, γέγονε μὲν ὁμαλώτερον, ξυνέωσται δὲ ὑπὸ τῶν ἐξιόντων εἰς αὑτό. παγὲν τε οὕτω, τὸ μὲν ὑπὲρ γῆς μάλιστα παθὸν ταῦτα, χάλαζα· τὸ δ' ἐπὶ γῆς, κρύσταλλος· τὸ δὲ ἧττον, ἡμιπαγές τε ὂν ἔτι, τὸ μὲν ὑπὲρ γῆς αὖ, χιών· τὸ δ' ἐπὶ γῆς ξυμπαγὲν, ἐκ δρόσου γενόμενον, πάχνη λέγεται. τὰ δὲ δὴ πλεῖστα ὑδάτων εἴδη, μεμιγμένα ἀλλήλοις, ξύμπαν μὲν τὸ γένος, διὰ τῶν ἐκ γῆς φυτῶν ἠθημένα, χυμοὶ λεγόμενοι· διὰ δὲ τὰς μίξεις ἀνομοιότητα ἕκαστοι ἔχοντες, τὰ μὲν ἄλλα πολλὰ ἀνώνυμα γένη παρέσχοντο, τέτταρα δὲ ὅσα ἔμπυρα εἴδη, διαφανῆ μάλιστα γενόμενα, εἴληφεν ὀνόματα αὐτῶν· τὸ μὲν τῆς

ψυχῆς μετὰ τοῦ σώματος θερμαντικὸν, οἶνος· τὸ δὲ λεῖον, καὶ διακριτικὸν ὄψεως, διὰ ταῦτά τε ἰδεῖν λαμπρὸν, καὶ στίλβον, λιπαρόν τε φανταζόμενον ἐλαιηρὸν εἶδος, πίττα καὶ κίκι, καὶ ἔλαιον αὐτὸ, ὅσά τ᾽ ἄλλα τῆς αὐτῆς δυνάμεως· ὅσον δὲ διαχυτικὸν μέχρι φύσεως τῶν περὶ τὸ στόμα ξυνόδων, ταύτῃ τῇ δυνάμει γλυκύτητα παρεχόμενον, μέλι τὸ κατὰ πάντων μάλιστα πρόσρημα ἔσχε. τὸ δὲ τῆς σαρκὸς διαλυτικὸν τῷ κάειν, ἀφρῶδες γένος, ἐκ πάντων ἀφορισθὲν τῶν χυμῶν, ὀπὸς ἐπωνομάσθη. γῆς δὲ εἴδη, τὸ μὲν ἠθημένον δι᾽ ὕδατος, τοιῷδε τρόπῳ γίγνεται σῶμα λίθινον· τὸ ξυμπαγὲν ὕδωρ ὅταν ἐν τῇ ξυμμίξει κοπῇ, μετέβαλεν εἰς ἀέρος ἰδέαν· γενόμενος δὲ ἀὴρ, εἰς τὸν ἑαυτοῦ τόπον ἀναθεῖ. κενὸν δ᾽ ὑπῆρχεν αὐτῶν οὐδέν. τὸν οὖν πλησίον ἔωσεν ἀέρα. ὁ δὲ, ἂν ᾖ βαρὺς, ὠσθεὶς, καὶ περιχυθεὶς τῷ τῆς γῆς ὄγκῳ, σφόδρα ἔθλιψε, ξυνέωσέ τε αὐτὸν εἰς τὰς ἕδρας ὅθεν ἂν εἴη ὁ νέος ἀήρ. ξυνωσθεῖσα δὲ ὑπὸ ἀέρος ἀλύτως ὕδατι γῆ, ξυνίσταται πέτρα· καλλίων μὲν, ἡ τῶν ἴσων καὶ ὁμαλῶν διαφανὴς μερῶν· αἰσχίων δὲ, ἡ ἐναντία. τὸ δὲ ὑπὸ πυρὸς πάχους τὸ νοτερὸν πᾶν ἐξαρπασθὲν, καὶ κραυρότερον ἐκείνου ξυστὰν, τῷ γένει κέραμον ἐπωνομάκαμεν, τοῦτο γέγονεν. ἔστι δὲ ὅτε νοτίδος ὑπολειφθείσης χυτὴ γῆ γενομένη, διὰ πυρὸς ὅταν ψυχθῇ, γέγονε τὸ μέλαν χρῶμα ἔχον, λίθος. τῷ δ᾽ αὖ κατὰ ταὐτὰ μὲν ταῦτα ἐκ ξυμμίξεως ὕδατος ἀπομονουμένῳ πολλοῦ, λεπτοτέρων δὲ ἐκ γῆς μερῶν, ἁλμυρῷ τε ὄντι, ἡμιπαγεῖ γενομένῳ, καὶ αὐτῷ πάλιν ὑφ᾽ ὕδατος, τὸ μὲν ἐλαίου καὶ γῆς

καθαρτικὸν γένος, νίτρον· τὸ δ' εὐάρμοστον ἐν ταῖς κοινωνίαις ταῖς περὶ τὴν τοῦ σώματος αἴσθησιν, ἁλῶν, κατὰ λόγον νόμου, θεοφιλὲς σῶμα ἐγένετο. τὰ δὲ κοινὰ ἐξ ἀμφοῖν, ὕδατι μὲν οὐ λυτά, πυρὶ δὲ διὰ τὸ τοιόνδε οὕτω ξυμπήγνυται. γῆς ὄγκους πῦρ μὲν ἀήρ τε οὐ τήκει. τῆς γὰρ ξυστάσεως τῶν διακένων αὐτῆς σμικρομερέστερα πεφυκότα, διὰ πολλῆς εὐρυχωρίας ἰόντα, οὐ βιαζόμενα, ἄλυτον αὐτὴν ἐάσαντα, ἄτηκτον παρέσχε. τὰ δὲ ὕδατος, ἐπειδὴ μείζω πέφυκε, μέρη, βίαιον ποιούμενα τὴν διέξοδον, λύοντα αὐτὴν τήκει. γῆν μὲν ἀξύστατον ὑπὸ βίας οὕτω ὕδωρ μόνον λύει, ξυνεστηκυῖαν δέ, πλὴν πυρὸς οὐδέν. εἴςοδος γὰρ οὐδενὶ πλὴν πυρὶ λέλειπται. τὴν δὲ ὕδατος αὖ ξύνοδον, τὴν μὲν βιαιοτάτην, πῦρ μόνον· τὴν δὲ ἀσθενεστέραν, ἀμφότερα, πῦρ τε καὶ ἀήρ, διαχεῖτον· ὁ μέν, κατὰ τὰ διάκενα, τὸ δέ, καὶ κατὰ τὰ τρίγωνα. βίᾳ δὲ ἀέρα ξυστάντα οὐδὲν λύει πλὴν κατὰ τὸ στοιχεῖον, ἀβίαστον δὲ κατατήκει μόνον πῦρ. τὰ δὲ τῶν ξυμμίκτων ἐκ γῆς τε καὶ ὕδατος σωμάτων, μέχρι περ ἂν ὕδωρ αὐτοῦ τὰ τῆς γῆς διάκενα καὶ βίᾳ ξυμπεπιλημένα κατέχῃ, τὰ μὲν ὕδατος, ἐπιόντα ἔξωθεν, εἴσοδον οὐκ ἔχοντα μέρη, περιῤῥέοντα τὸν ὅλον ὄγκον ἄτηκτον εἴασε· τὰ δὲ πυρός, εἰς τὰ τῶν ὑδάτων διάκενα εἰσιόντα, ὅπερ ὕδωρ γῆν, τοῦτο δὲ πῦρ ἀέρα ἀπεργαζόμενα, τηχθέντι τῷ κοινῷ σώματι ῥεῖν μόνα αἴτια ξυμβέβηκε. τυγχάνει δὲ ταῦτα ὄντα, τὰ μέν, ἔλαττον ἔχοντα ὕδατος ἢ γῆς, τό, τε περὶ τὴν ὕαλον γένος ἅπαν, ὅσά τε λίθων χυτὰ εἴδη καλεῖται· τὰ δὲ πλέον ὕδατος αὖ, πάντα ὅσα κηροει-

δῆ καὶ θυμιατικὰ σώματα ξυμπήγνυται. Τὰ μὲν δὴ σχήμασι, κοινωνίαις τε καὶ μεταλλαγαῖς εἰς ἄλληλα πεποικιλμένα εἴδη, σχεδὸν ἐπιδέδεικται· τὰ δὲ παθήματα αὐτῶν δι' ἃς αἰτίας γέγονε, πειρατέον ἐμφανίζειν ἡμᾶς. πρῶτον μὲν οὖν ὑπάρχειν αἴσθησιν δεῖ τοῖς λεγομένοις ἀεί. σαρκὸς δὲ καὶ τῶν περὶ σάρκα γένεσιν, ψυχῆς τε ὅσον θνητὸν, οὔπω διεληλύθαμεν. τυγχάνει δὲ οὔτε ταῦτα χωρὶς τῶν περὶ τὰ παθήματα, ὅσα αἰσθητικὰ, οὔτ' ἐκεῖνα ἄνευ τούτων δύναται ἱκανῶς λεχθῆναι. τὸ δὲ ἅμα, σχεδὸν οὐ δυνατόν. ὑποθετέον δὴ πρότερον θάτερα· τὰ δ' ὕστερα ὑποτεθέντα ἐπάνιμεν αὖθις. ἵνα οὖν ἑξῆς τὰ παθήματα λέγηται τοῖς γένεσιν, ἔστω πρότερα ἡμῖν τὰ περὶ τὸ σῶμα καὶ ψυχὴν ὄντα. πρῶτον μὲν οὖν ᾗ πῦρ θερμὸν λέγομεν, ἴδωμεν, ὧδε σκοποῦντες· τὴν διάκρισιν καὶ τομὴν αὐτοῦ περὶ τὸ σῶμα ἡμῶν γιγνομένην ἐννοηθέντες. ὅτι μὲν γὰρ ὀξύ τι τὸ πάθος, πάντες σχεδὸν αἰσθανόμεθα· τὴν δὲ λεπτότητα τῶν γωνιῶν, καὶ πλευρῶν ὀξύτητα, τῶν τε μορίων σμικρότητα, καὶ τῆς φορᾶς τάχος, (οἷς πᾶσι σφοδρὸν ὂν καὶ τομὸν, ὀξέως τὸ προστυχὸν ἀεὶ τέμνει) λογιστέον, ἀναμιμνησκομένοις τὴν τοῦ σχήματος αὐτοῦ γένεσιν, ὅτι μάλιστα ἐκείνη καὶ οὐκ ἄλλη φύσις διακρίνουσα ἡμῶν κατὰ σμικρά τε τὰ σώματα κερματίζουσα, τοῦτο ὃ νῦν θερμὸν λέγομεν, εἰκότως τὸ πάθημα καὶ τοὔνομα παρέσχε. τὸ δ' ἐναντίον τούτῳ, κατάδηλον μὲν, ὅμως δὲ μηδὲν ἐπιδεὲς ἔστω λόγου. τὰ γὰρ δὴ τῶν περὶ τὸ σῶμα ὑγρῶν μεγαλομερέστερα, εἰσιόντα, τὰ σμικρότερα ἐξωθοῦντα, εἰς τὰς

ἐκείνων οὐ δυνάμενα ἕδρας ἐνδύναι, ξυνωθοῦντα ἡμῶν τὸ νοτερὸν, ἐξ ἀνωμάλου κεκινημένου τε ἀκίνητον δι' ὁμαλότητα καὶ τὴν ξύνωσιν ἀπεργαζόμενα, πήγνυσι. τὸ δὲ παρὰ φύσιν ξυναγόμενον, μάχεται κατὰ φύσιν αὐτὸ αὑτῷ, εἰς τοὐναντίον ἀπωθοῦν. τῇ δὴ μάχῃ καὶ τῷ σεισμῷ τούτῳ τρόμος καὶ ῥῖγος ἐτέθη· ψυχρόν τε τὸ πάθος ἅπαν τοῦτο, καὶ τὸ δρῶν αὐτὸ, ἔσχεν ὄνομα. σκληρὸν δὲ, ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκῃ· μαλακὸν δὲ, ὅσα ἂν τῇ σαρκί· πρὸς ἄλληλά τε οὕτως. ὑπείκει δὲ ὅσον ἐπὶ σμικροῦ βαίνει. τὸ δὲ ἐκ τετραγώνων ὂν βάσεων, ἅτε βεβηκὸς σφόδρα, ἀντιτυπώτατον εἶδος, ὅ, τι τε ἂν εἰς πυκνότητα ξυνιὸν πλείστην, ἀντίτονον ᾖ μάλιστα. βαρὺ δὲ καὶ κοῦφον, μετὰ τῆς κάτω φύσεως ἄνω τε λεγομένης ἐξεταζόμενον ἂν δηλωθείη σαφέστατα. φύσει γὰρ δή τινας τόπους δύο εἶναι, διειληφότας διχῇ τὸ πᾶν, ἐναντίους, τὸν μὲν, κάτω, πρὸς ὃν φέρεται πάνθ' ὅσα τινὰ σώματος ὄγκον ἔχει, τὸν δ', ἄνω, πρὸς ὃν ἀκουσίως ἔρχεται πᾶν· οὐκ ὀρθὸν οὐδαμῇ νομίζειν. τοῦ γὰρ παντὸς οὐρανοῦ σφαιροειδοῦς ὄντος, ὅσα μὲν ἀφεστῶτα ἴσον τοῦ μέσου γέγονεν ἔσχατα, ὁμοίως αὐτὰ χρὴ ἔσχατα πεφυκέναι· τὸ δὲ μέσον, τὰ αὐτὰ μέτρα τῶν ἐσχάτων ἀφεστηκὸς, ἐν τῷ καταντικρὺ νομίζειν δεῖ πάντων εἶναι. τοῦ δὴ κόσμου ταύτῃ πεφυκότος, τῶν τι εἰρημένων ἄνω τὶς ἢ κάτω τιθέμενος, οὐκ ἐν δίκῃ δόξει τὸ μηδὲν προσῆκον ὄνομα λέγειν. ὁ μὲν γὰρ μέσος ἐν αὐτῷ τόπος, οὔτε κάτω πεφυκὼς, οὔτε ἄνω, λέγεσθαι δίκαιος, ἀλλ' αὐτὸ ἐν μέσῳ· ὁ δὲ πέριξ, οὔτε δὴ μέσος, οὔτ'

ἔχων διάφορον αὐτοῦ μέρος ἕτερον θατέρου μᾶλλον πρὸς τὸ μέσον, ἤ τι τῶν καταντικρύ. τοῦ δὲ ὁμοίως πάντῃ πεφυκότος, ποῖα τὶς ἐπιφέρων ὀνόματα αὐτῷ ἐναντία, καὶ πῇ, καλῶς ἂν ἡγοῖτο λέγειν; εἰ γάρ τι καὶ στερεὸν εἴη, κατὰ μέσον τοῦ παντὸς ἰσοπαλὲς, εἰς οὐδὲν ἄν ποτε τῶν ἐσχάτων ἐνεχθείη, διὰ τὴν πάντῃ ὁμοιότητα αὐτῶν. ἀλλ' εἰ καὶ περὶ αὐτὸ πορεύοιτό τις ἐν κύκλῳ, πολλάκις ἂν στὰς ἀντίπους, ταὐτὸν αὐτοῦ κάτω καὶ ἄνω προσείποι. τὸ μὲν γὰρ ὅλον, καθάπερ εἴρηται, νῦν δὴ σφαιροειδὲς ὂν, τόπον τινὰ, κάτω, τὸν δὲ, ἄνω λέγειν ἔχειν, οὐκ ἔμφρονος. ὅθεν δὲ ὠνομάσθη ταῦτα, καὶ ἐν οἷς ὄντα, εἰθίσμεθα δι' ἐκεῖνα καὶ τὸν οὐρανὸν ὅλον οὕτω διαιρούμενοι λέγειν, ταῦτα διομολογητέον, ὑποθεμένοις τάδ' ἡμῖν. εἴτις ἐν τῷ τοῦ παντὸς τόπῳ, καθ' ὃν ἡ τοῦ πυρὸς εἴληχε μάλιστα φύσις, οὗ καὶ πλεῖστον ἂν ἠθροισμένον εἴη, πρὸς ὃ φέρεται, ἐπαναβὰς ἐπ' ἐκεῖνο, καὶ δύναμιν εἰς τοῦτο ἔχων, μέρη τοῦ πυρὸς ἀφαιρῶν, ἱστᾷ· ἢ τιθεὶς εἰς πλάστιγγας, αἴρων τὸν ζυγὸν, καὶ τὸ πῦρ ἕλκων, εἰς ἀνόμοιον ἀέρα βιαζόμενος, δῆλον ὡς τοὔλαττόν που τοῦ μείζονος ῥᾷον βιᾶται. ῥώμῃ γὰρ μιᾷ δυοῖν ἅμα μετεωριζομένοιν, τὸ μὲν ἔλαττον, μᾶλλον, τὸ δὲ πλέον, ἧττον, ἀνάγκη που κατατεινόμενον ξυνέπεσθαι τῇ βίᾳ· καὶ τὸ μὲν, βαρὺ καὶ κάτω φερόμενον, κληθῆναι· τὸ δὲ σμικρὸν, ἐλαφρὸν, καὶ ἄνω. ταὐτὸ δὴ τοῦτο φωρᾶσαι δεῖ δρῶντας ἡμᾶς περὶ τόνδε τὸν τόπον. ἐπὶ γὰρ γῆς βεβῶτες, γεώδη γένη διϊστάμενοι, καὶ γῆν ἐνίοτε αὐτὴν ἕλκομεν εἰς ἀνόμοιον ἀέρα βίᾳ καὶ παρὰ φύσιν,

ἀμφότερα τοῦ ξυγγενοῦς ἀντεχόμενα. τὸ δὲ σμικρότερον, ῥᾷον τοῦ μείζονος, βιαζομένοις εἰς τὸ ἀνόμοιον, πρότερον ξυνέπεται. κοῦφον οὖν αὐτὸ προσειρήκαμεν, καὶ τὸν τόπον εἰς ὃν βιαζόμεθα, ἄνω· τὸ δ' ἐναντίον τούτοις πάθος, βαρὺ, καὶ κάτω. ταῦτ' οὖν διαφόρως ἔχειν αὐτὰ πρὸς αὐτὰ, ἀνάγκη, διὰ τὸ τὰ πλήθη τῶν γενῶν τόπον ἐναντίον ἀλλήλοις κατέχειν. τὸ γὰρ ἐν ἑτέρῳ κοῦφον ὂν τόπῳ, τῷ κατὰ τὸν ἐναντίον τόπον ἐλαφρῷ· καὶ τὸ βαρὺ, τῷ βαρεῖ· τῷ τε κάτω, τὸ κάτω, καὶ τὸ ἄνω, τῷ ἄνω· πάντ' ἐναντία καὶ πλάγια καὶ πάντως διάφορα πρὸς ἄλληλα ἂν εὑρεθήσεται γιγνόμενα καὶ ὄντα. τόδε γεμὴν ἕν τι διανοητέον περὶ πάντων αὐτῶν, ὡς ἡ μὲν πρὸς τὸ ξυγγενὲς ὁδὸς ἑκάστοις οὖσα, βαρὺ μὲν τὸ φερόμενον ποιεῖ, τὸν δὲ τόπον εἰς ὃν τὸ τοιοῦτον φέρεται, κάτω· τὰ δὲ τούτοις ἔχοντα ὡς ἑτέρως, θάτερα. περὶ δὴ τούτων οὖν τῶν παθημάτων ταῦτα αἴτια εἰρήσθω. λείου δ' αὖ καὶ τραχέος παθήματος αἰτίαν πᾶς που κατιδὼν, καὶ ἑτέρῳ δυνατὸς ἂν εἴη λέγειν. σκληρότης γὰρ ἀνωμαλότητι μιχθεῖσα, τὸ δ' ὁμαλότης πυκνότητι παρέχεται. Μέγιστον δὲ καὶ λοιπὸν τῶν κοινῶν περὶ ὅλον τὸ σῶμα παθημάτων, τὸ τῶν ἡδέων καὶ τῶν ἀλγεινῶν αἴτιον, ἐν οἷς διεληλύθαμεν· καὶ ὅσα διὰ τῶν τοῦ σώματος μορίων αἰσθήσεις κεκτημένα, καὶ λύπας ἐν αὐτοῖς ἡδονάς θ' ἅμα ἑπομένας ἔχει. ὧδ' οὖν κατὰ παντὸς αἰσθητοῦ καὶ ἀναισθήτου παθήματος τὰς αἰτίας λαμβάνωμεν, ἀναμιμνησκόμενοι τὸ τῆς εὐκινήτου καὶ δυσκινήτου φύσεως ὅ, τι διειλόμεθα ἐν τοῖς πρόσθεν. ταύτῃ

γὰρ μεταδιωκτέον πάντα ὅσα ἑλεῖν ἐπινοοῦμεν. τὸ γὰρ κατὰ φύσιν εὐκίνητον, ὅταν καὶ βραχὺ πάθος ἐμπίπτῃ εἰς αὐτὸ, διαδίδωσι κύκλῳ μόρια ἕτερα ἑτέροις, ταὐτὸν ἀπεργαζόμενα, μέχρι περ ἂν ἐπὶ το φρόνιμον ἐλθόντα, ἐξαγγείλῃ τοῦ ποιήσαντος τὴν δύναμιν. τὸ δ᾽ ἐναντίον, ἑδραῖον ὄν, κατ᾽ οὐδένα τε κύκλον ἰὸν, πάσχει μόνον, ἄλλο δὲ οὐ κινεῖ τῶν πλησίων. ὥστε οὐ διαδιδόντων μορίων μορίοις ἄλλων ἄλλοις, τὸ πρῶτον πάθος ἐν αὐτοῖς ἀκίνητον εἰς τὸ πᾶν ζῶον γενόμενον, ἀναίσθητον παρέσχε τὸ παθόν. ταῦτα δὲ περί τε ὀστᾶ καὶ τρίχας ἐστὶ, καὶ ὅσα ἄλλα γήϊνα τοπλεῖστον ἔχομεν ἐν ἡμῖν μόρια. τὰ δὲ ἔμπροσθεν περὶ τὰ τῆς ὄψεως καὶ ἀκοῆς μάλιστα, διὰ τὸ πυρὸς ἀέρος τε ἐν αὐτοῖς δύναμιν εἶναι μεγίστην. τὸ δὴ τῆς ἡδονῆς καὶ λύπης ὧδε δεῖ διανοεῖσθαι. τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γιγνόμενον ἀθρόον παρ᾽ ἡμῖν πάθος, ἀλγεινόν· τὸ δ᾽ εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον, ἡδύ· τὸ δ᾽ ἐναντίον τούτοις, ἐναντίως. τὸ δὲ μετ᾽ εὐπετείας γιγνόμενον ἅπαν, αἰσθητὸν μὲν ὅτιμάλιστα, λύπης δὲ καὶ ἡδονῆς οὐ μετέχον· οἷον τὰ περὶ τὴν ὄψιν αὐτὴν παθήματα· ἣ δὴ σῶμα ἐν τοῖς ἔμπροσθεν ἐῤῥήθη καθ᾽ ἡμέραν ξυμφυὲς ἡμῶν γίγνεσθαι. ταύτῃ γὰρ τομαὶ μὲν καὶ καύσεις, καὶ ὅσα ἄλλα πάσχει, λύπας οὐκ ἐμποιοῦσιν, οὐδὲ ἡδονὰς πάλιν, ἐπὶ ταὐτὸν ἀπιούσης εἶδος. μέγισται δὲ αἰσθήσεις καὶ σαφέσταται, καθότι τ᾽ ἂν πάθῃ καὶ ὅσων ἂν αὕτη πη προσβάλλουσα ἐφάπτηται. βία γὰρ τὸ πάμπαν οὐκ ἔνι τῇ διακρίσει τε αὐτῆς καὶ συγκρίσει. τὰ δὲ ἐκ μειζό-

νων μερῶν σώματα, μόγις εἴκοντα τῷ δρῶντι, δ
δόντα δὲ εἰς ὅλον τὰς κινήσεις, ἡδονὰς ἴσχει κα
πας· ἀλλοτριούμενα μὲν, λύπας· καθιστάμεν
εἰς τὸ αὐτὸ πάλιν, ἡδονάς. ὅσα δὲ κατὰ σμι
τὰς ἀποχωρήσεις ἑαυτῶν καὶ κενώσεις εἴληφε, τ
πληρώσεις ἀθρόας, καὶ κατὰ μεγάλα κενώσεως
ἀναίσθητα, πληρώσεως δὲ αἰσθητικὰ γιγνόμενα
πας μὲν οὐ παρέχει τῷ θνητῷ τῆς ψυχῆς, μεγ
δὲ ἡδονάς. ἔστι δ' ἔνδηλα περὶ τὰς εὐωδίας.
δὲ ἀπαλλοτριοῦται μὲν ἀθρόα, κατὰ σμικρὰ δ
γις εἰς ταὐτὸν πάλιν ἑαυτοῖς καθίσταται, τοὐναν
τοῖς ἔμπροσθεν πάντα ἀποδίδωσι. ταῦτα δ' αὖ
ρὶ τὰς καύσεις καὶ τομὰς τοῦ σώματος γιγνό
ἐστὶ κατάδηλα. τὰ μὲν δὴ κοινὰ τοῦ σώματος
τὸς παθήματα, τῶν τε ἐπωνυμιῶν ὅσαι τοῖς δρ
αὐτὰ γεγόνασι, σχεδὸν εἴρηται. Τὰ δ' ἐν ἰδίοι
ρεσιν ἡμῶν γιγνόμενα, τά τε πάθη καὶ τὰς α
τῶν δρώντων αὐτὰ πειρατέον εἰπεῖν, ἄν πη δυν
θα. πρῶτον μὲν οὖν ὅσα τῶν χυμῶν πέρι λέγ
ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδι' ὄντα παθή
περὶ τὴν γλῶτταν, ἐμφανιστέον ᾗ δυνατόν. φ
ται δὲ καὶ ταῦτα, ὥσπερ οὖν καὶ πολλὰ, διὰ
κρίσεών τε τινῶν καὶ διακρίσεων γίγνεσθαι. πρ
αὐταῖς, κεχρῆσθαι μᾶλλόν τι τῶν ἄλλων τραχύ
τε καὶ λειότησιν. ὅσα μὲν γὰρ εἰσιόντα περὶ τὰ
βία, οἷόν περ δοκίμια τῆς γλώττης, τεταμένα ἐπ
καρδίαν, εἰς τὰ νοτερὰ τῆς σαρκὸς καὶ ἁπαλὰ ἐ
πτοντα, γήϊνα μέσα κατατηκόμενα, ξυνάγει τὰ
βία καὶ ἀποξηραίνει· τραχύτερα μὲν ὄντα, στ

ἧττον δὲ τραχύνοντα, αὐστηρὰ φαίνεται. τὰ δὲ τούτων ῥυπτικὰ, καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα, πέρα μὲν τοῦ μετρίου τοῦτο δρῶντα, καὶ προςεπιλαμβανόμενα, ὥστε ἀποτήκειν αὐτῆς τι τῆς φύσεως, οἷον ἡ τῶν νίτρων δύναμις, πικρὰ πάνθ᾽ οὕτως ὠνόμασται· τὰ δὲ ὑποδεέστερα τῆς νιτρώδους ἕξεως, ἐπὶ τὸ μέτριόν τε τῇ ῥύψει χρώμενα, ἁλυκὰ, ἄνευ πικρότητος τραχείας, καὶ φίλα μᾶλλον ἡμῖν φαντάζεται. τὰ δὲ τῇ τοῦ στόματος θερμότητι κοινωνήσαντα, καὶ λειαινόμενα ὑπ᾽ αὐτοῦ, συνεκπυρούμενα, καὶ πάλιν αὐτὰ ἀντικάοντα τὸ διαθερμῆναν, φερόμενά τε ὑπὸ κουφότητος ἄνω πρὸς τὰς τῆς κεφαλῆς αἰσθήσεις, τέμνοντά τε πάνθ᾽ ὅσοις ἂν προςπίπτῃ διὰ ταύτας τὰς δυνάμεις, δριμέα πάντα τὰ τοιαῦτα ἐλέχθη. τῶν δὲ αὐτῶν προλελεπτυσμένων μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας ἐνδυομένων, καὶ τοῖς ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσι, καὶ ὅσα ἀέρος ξυμμετρίαν ἔχοντα, ὥστε κινήσαντα περὶ ἄλληλα ποιεῖν κυκᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε, καὶ εἰς ἕτερα ἐνδυόμενα, ἕτερα κοῖλα ἀπεργάζεσθαι, περιτεινόμενα τοῖς εἰσιοῦσιν· ἃ δὴ, νοτίδος περὶ ἀέρα κοίλης περιταθείσης, τοτὲ μὲν γεώδους, τοτὲ δὲ καὶ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέρος ὕδατα κοῖλα περιφερῆ τε γενέσθαι. καὶ τὰ μὲν τῆς καθαρᾶς, διαφανεῖς περιστῆναι, κληθείσας ὄνομα πομφόλυγας· τὰ δὲ τῆς γεώδους, ὁμοῦ κινουμένης καὶ αἰρομένης, ζέσιν τε καὶ ζύμωσιν ἐπίκλην κληθῆναι. τὸ δὲ τούτων αἴτιον τῶν παθημάτων, ὀξὺ προσρηθῆναι. ξύμπασι δὲ τοῖς περὶ ταῦτα εἰρημένοις πά-

θος ἐναντίον, ἀπ' ἐναντίας ἐστὶ προφάσεως, ὁπόταν ἡ τῶν εἰσιόντων σύστασις ἐν ὑγροῖς, οἰκεία τῇ τῆς γλώττης ἕξει πεφυκυῖα, λειαίνῃ μὲν ἐπαλείφουσα τὰ τραχυθέντα, τὰ δὲ παρὰ φύσιν ξυνεστῶτα, ἢ κεχυμένα, τὰ μὲν ξυνάγῃ, τὰ δὲ, χαλᾷ· καὶ πάνθ' ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν. ἡδὺ καὶ προσφιλὲς παντὶ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον, κέκληται γλυκύ. καὶ τὰ μὲν δὴ ταύτῃ, ταῦτα. περὶ δὲ τὴν τῶν μυκτήρων δύναμιν, εἴδη μὲν οὐκ ἔνι. τὸ γὰρ τῶν ὀσμῶν πᾶν, ἡμιγενές. εἴδει δὲ οὐδενὶ ξυμβέβηκε συμμετρία πρός τὸ τινὰ σχεῖν ὀσμήν. ἀλλ' ἡμῶν αἱ περὶ τὰ τοιαῦτα φλέβες πρὸς μὲν τὰ γῆς ὕδατός τε γένη στενώτεραι ξυνέστησαν, πρὸς δὲ τὰ πυρὸς ἀέρος τε, εὐρύτεραι. διὸ τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς πώποτε ᾔσθετο τινὸς, ἀλλ' ἀεὶ βρεχομένων, ἢ σηπομένων, ἢ τηκομένων, ἢ θυμιωμένων γίγνονται τινῶν. μεταβάλλοντος γὰρ ὕδατος εἰς ἀέρα, ἀέρος τε εἰς ὕδωρ, ἐν τῷ μεταξὺ τούτων γεγόνασιν. εἰσί τε ὀσμαὶ ξύμπασαι, καπνὸς, ἢ ὁμίχλη. τούτων δὲ, τὸ μὲν ἐξ ἀέρος εἰς ὕδωρ ἰὸν, ὁμίχλη· τὸ δὲ ἐξ ὕδατος εἰς ἀέρα, καπνός. ὅθεν λεπτότεραι μὲν ὕδατος, παχύτεραι δὲ ὀσμαὶ ξύμπασαι γεγόνασιν ἀέρος. δηλοῦνται δὲ, ὁπόταν τινὸς ἀντιφραχθέντος περὶ τὴν ἀναπνοὴν, ἄγῃ τὶς βίᾳ τὸ πνεῦμα εἰς αὑτόν. τότε γὰρ ὀσμὴ μὲν οὐδεμία συνδιηθεῖται, τὸ δὲ πνεῦμα τῶν ὀσμῶν ἐρημωθὲν, αὐτὸ μόνον ἕπεται. διὰ οὖν ταῦτα, ἀνώνυμα τὰ τούτων ποικίλματα γέγονεν, οὐκ ἐκ πολλῶν οὐδ' ἁπλῶν εἰδῶν ὄντα· ἀλλὰ διχῇ τὸ ἡδὺ καὶ τὸ λυπηρὸν αὐτόθι μόνω διαφανῆ

λεγέσθον. τὸ μὲν, τραχῦνόν τε καὶ βιαζόμενον τὸ κύτος ἅπαν, ὅσον ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται· τὸ δὲ, ταὐτὸ τοῦτο καταπραῦνον, καὶ πάλιν ᾗ πέφυκεν ἀγαπητῶς ἀποδιδόν. Τρίτον δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπισκοποῦσι τὸ περὶ τὴν ἀκοήν, δι' ἃς αἰτίας τὰ περὶ αὐτὰ ξυμβαίνει παθήματα λεκτέον. ὅλως μὲν οὖν φωνὴν θῶμεν, τὴν δι' ὤτων ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος μέχρι ψυχῆς πληγὴν διαδιδομένην· τὴν δὲ ὑπ' αὐτῆς κίνησιν, ἀπὸ τῆς κεφαλῆς μὲν ἀρχομένην, τελευτῶσαν δὲ περὶ τὴν τοῦ ἥπατος ἕδραν, ἀκοήν. ὅση δ' αὐτῆς ταχεῖα, ὀξεῖαν· ὅση δὲ βραδυτέρα, βαρυτέραν. τὴν δὲ μίαν, ὁμαλήν τε καὶ λείαν· τὴν δ' ἐναντίαν, τραχεῖαν. μεγάλην δὲ, τὴν πολλήν· ὅση δ' ἐναντία, σμικράν. τὰς δὲ πέριξ ξυμφωνίας αὐτῶν ἐν τοῖς ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι. Τέταρτον δὴ λοιπὸν ἔτι γένος ἡμῖν αἰσθητικὸν, ὃ διελέσθαι δεῖ, συχνὰ ἐν ἑαυτῷ ποικίλματα κεκτημένον· ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀποῤῥέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν. ὄψεως δὲ ἐν τοῖς πρόσθεν αὐτῶν περὶ τῶν αἰτίων τῆς γενέσεως ἐῤῥήθη· τῇδ' οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ' ἂν ἐπιεικεῖ λόγῳ διεξελθεῖν. τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μορίων, ἐμπίπτοντα δὲ εἰς τὴν ὄψιν, τὰ μὲν, ἐλάττω, τὰ δὲ, μείζω, τὰ δ' ἴσα τοῖς αὐτῆς τῆς ὄψεως μέρεσιν εἶναι. τὰ μὲν οὖν ἴσα, ἀναίσθητα· ἃ δὴ καὶ διαφανῆ λέγομεν. τὰ δὲ μείζω ἢ ἐλάττω, τὰ μὲν, συγκρίνοντα, τὰ δὲ, διακρίνοντα αὐτὴν τοῖς περὶ

τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς, καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς· καὶ ὅσα θερμαντικὰ ὄντα, δριμέα ἐκαλέσαμεν, ἀδελφὰ εἶναι. τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα, ἐν ἄλλῳ γένει ταὐτὰ, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας. οὕτως οὖν αὐτὰ προσρητέον· τὸ μὲν διακριτικὸν τῆς ὄψεως, Λευκόν· τὸ δ' ἐναντίον αὐτοῦ, Μέλαν. τὴν δ' ὀξυτέραν φορὰν καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀμμάτων, αὐτάς τε τῶν ὀφθαλμῶν τὰς διεξόδους βίᾳ διωθοῦσαν καὶ τήκουσαν, πῦρ μὲν, καὶ ὕδωρ ἀθρόον, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν. καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς, οἷον ἀπ' ἀστραπῆς, τοῦ δ' εἰσιόντος, καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκήσει ταύτῃ γιγνομένων χρωμάτων, Μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον, Λαμπρόν τε καὶ Στίλβον ἐπωνομάσαμεν. τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον, καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ χρῶμα ἔναιμον παρασχομένῃ, τοὔνομα Ἐρυθρὸν λέγομεν. λαμπρόν τε ἐρυθρῷ λευκῷ τε μιγνύμενον, Ξανθὸν γέγονε. τὸ δ' ὅσον μέτρον ὅσοις, οὐδ' εἴτις εἰδείη, νοῦν ἔχοι τὸ λέγειν· ὧν μήτε τινὰ ἀνάγκην, μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός. ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε κραθὲν, Ἁλουργοῦν. Ὄρφνινον δὲ, ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τε, μᾶλλον συγκραθῇ μέλαν. Πυῤῥὸν δὲ,

ξανθοῦ τε καὶ φαιοῦ κράσει γίγνεται· Φαιὸν δὲ, λευκοῦ τε καὶ μέλανος. τὸ δὲ Ὠχρὸν, λευκοῦ ξανθῷ μεμιγμένου. λαμπρὸν δὲ, λευκῷ ξυνελθὸν, καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν, Κυανοῦν χρῶμα ἀποτελεῖται. κυανοῦ δὲ λευκῷ κεραννυμένου, Γλαυκόν· πυῤῥοῦ δὲ μέλανι, Πράσιον. τὰ δὲ ἄλλα, ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασώζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον· ὅτι θεὸς μὲν τὰ πολλὰ εἰς ἓν ξυγκεραννῦναι, καὶ πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανὸς, ὡς ἐπιστάμενος ἅμα καὶ δυνατός· ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτε ἔστι νῦν, οὔτ᾽ εἰσαῦθίς ποτ᾽ ἔσται. πάντα δὴ ταῦτα τότε ταύτῃ πεφυκότα, ἐξ ἀνάγκης ὁ τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν τοῖς γιγνομένοις παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τὸν τελεώτατον θεὸν ἐγέννα· χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γιγνομένοις αὐτός. διὸ δὴ χρὴ δύο αἰτίας εἴδη διορίζεσθαι· τὸ μὲν, ἀναγκαῖον· τὸ δὲ, θεῖον. καὶ τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος βίου, καθ᾽ ὅσον ἡμῶν ἡ φύσις ἐνδέχεται· τὸ δὲ ἀναγκαῖον, ἐκείνων χάριν, λογιζομένους ὡς ἄνευ τούτων οὐ δυνατὰ αὐτὰ ἐκεῖνα ἐφ᾽ οἷς σπουδάζομεν, μόνα κατανοεῖν, οὐδ᾽ αὖ λαβεῖν, οὐδ᾽ ἄλλως πως μετασχεῖν. ὅτ᾽ οὖν δὴ τανῦν οἷα τέκτοσιν ἡμῖν ὕλη παράκειται τὰ τῶν αἰτίων γένη διυλασμένα, ἐξ ὧν τὸν ἐπίλοιπον λόγον

δεῖ ξυνυφανθῆναι, πάλιν ἐπ' ἀρχὴν ἀνέλθωμεν διὰ βραχέων· ταχύ τε εἰς ταὐτὸ πορευθῶμεν ὅθεν δεῦρο ἀφικόμεθα, καὶ τελευτὴν ἤδη κεφαλήν τε τῷ μύθῳ πειρώμεθα ἁρμόττουσαν ἐπιθεῖναι τοῖς πρόσθεν. ὥσπερ γὰρ οὖν καὶ κατ' ἀρχὰς ἐλέχθη, ταῦτα ἀτάκτως ἔχοντα ὁ θεὸς ἐν ἑκάστῳ τε αὐτῷ πρὸς αὑτὸ καὶ πρὸς ἄλληλα συμμετρίας ἐνεποίησεν, ὅσας τε καὶ ὅπῃ δυνατὸν ἦν ἀνάλογα καὶ σύμμετρα εἶναι. τότε γὰρ οὔτε τούτων, ὅσον μὴ τύχῃ, τὶ μετεῖχεν, οὔτε τοπαράπαν ὀνομάσαι τῶν νῦν ὀνομαζομένων ἀξιόλογον ἦν οὐδέν· οἷόν περ καὶ ὕδωρ, καί τι τῶν ἄλλων. ἀλλὰ πάντα ταῦτα πρῶτον διεκόσμησεν, ἔπειτα ἐκ τούτων πᾶν τόδε ξυνεστήσατο, ζῶον ἕν, ζῶα ἔχον ἅπαντα ἐν αὐτῷ θνητά τε ἀθάνατά τε. καὶ τῶν μὲν θείων αὐτὸς γίνεται δημιουργὸς, τῶν δὲ θνητῶν τὴν γένεσιν τοῖς ἑαυτοῦ γεννήμασι δημιουργεῖν προσέταξεν. οἱ δὲ, μιμούμενοι, παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον, τὸ μετὰ τοῦτο, θνητὸν σῶμα αὐτοὶ περιετόρνευσαν· ὄχημά τε ἅπαν τὸ σῶμα ἔδοσαν· ἄλλό τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδομοῦντο θνητὸν, δεινὰ καὶ ἀναγκαῖα ἐν αὑτῷ παθήματα ἔχον. πρῶτον μὲν, ἡδονὴν, μέγιστον κακῶν δέλεαρ· ἔπειτα λύπας, ἀγαθῶν φυγάς. ἔτι δ' αὖ θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω· θυμόν τε, δυσπαραμύθητον· ἐλπίδα τ' εὐπαράγωγον αἰσθήσει τε ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς ἔρωτι. ξυγκερασάμενοί τ' αὐτὰ, ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθεσαν. καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅτι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην

τοῦ σώματος οἴκησιν τὸ θνητὸν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν. καὶ ἐπειδὴ τὸ μὲν, ἄμεινον, αὐτῆς, τὸ δὲ, χεῖρον πέφυκει, διοικοδομοῦσι τοῦ θώρακος αὖ τὸ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὂν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς, μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος· ἵνα τοῦ λόγου κατήκοον ὂν, κοινῇ μετ᾽ ἐκείνου, βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ᾽ ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. τὴν δὲ δὴ καρδίαν ἅμα τῶν φλεβῶν, καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν· ἵνα ὅτε ζέσειε τὸ τοῦ θυμοῦ γένος, τοῦ λόγου παραγγείλαντος εἴτις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν, ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν, πᾶν ὅσον αἰσθητὸν ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον, καὶ ἕποιτο πάντῃ, καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῴη. τῇ δὲ δὴ πηδήσει τῆς καρδίας, ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ, καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγινώσκοντες ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι, τὴν τοῦ

πνεύμονος ἰδέαν ἐνεφύτευσαν· πρῶτον μὲν, μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας· ἵνα τό, τε πνεῦμα καὶ τὸ πόμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι. διὸ τὰς ἀρτηρίας, ὀχετοὺς ἐπὶ τὸν πνεύμονα ἔτεμον· καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέστησαν, οἷον ἅλμα μαλακόν· ἵνα ὁ θυμὸς ἡνίκα ἐν αὐτῇ ἀκμάζῃ, πηδῶσα εἰς ὑπεῖκον, καὶ ἀναψυχομένη, πονοῦσα ἧττον, μᾶλλον τῷ λόγῳ μετὰ θυμοῦ δύναιτο ὑπηρετεῖν. τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς, καὶ ὅσον ἔνδειαν διὰ τὴν τοῦ σώματος ἔχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα, ὡς θρέμμα ἄγριον, τρέφειν δὲ δὴ ξυνημμένον ἀναγκαῖον, εἴπέρ τι μέλλοι ποτὲ θνητὸν ἔσεσθαι γένος. ἵν᾽ οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ, καὶ ὅτιπορρωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ᾽ ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυνδιαφέροντος ἐῷ βουλεύεσθαι, καὶ διὰ ταῦτ᾽ ἐνταῦθα ἔδοσαν αὐτῷ τὴν τάξιν. εἰδότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴτε πη καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ᾽ ἡμέραν μάλιστα ψυχαγωγήσοιτο· τούτῳ δὴ θεὸς ἐπιβουλεύσας, αὐτοῦ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε, καὶ ἔθηκεν

εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν, καὶ λεῖον, καὶ λαμπρὸν, καὶ γλυκὺ, καὶ πικρότητα ἔχον, μηχανησάμενος· ἵν' ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους, καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβῇ μὲν αὐτὸ, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα ἀπειλῇ, κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ, χολώδη χρώματα ἐμφαίνει, ξυνάγουσά τε, πᾶν ῥυσσὸν καὶ τραχὺ ποιῇ· λοβὸν δὲ καὶ λόχον, πύλας τε, τὸ μὲν ἐξ ὀρθοῦ κατακάμπτουσα καὶ ξυσπῶσα, τὰ δ' ἐμφράττουσα συγκλείουσά τε, λύπας καὶ ἄσας παρέχοι. καὶ ὅταν τὰ ἐναντία φάσματα ἀποζωγραφῇ πρᾳότητος τὶς ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυχίαν παρέχουσα, τῷ μήτε κινεῖν, μήτε προσάπτεσθαι τῆς ἐναντίας ἑαυτῇ φύσεως ἐθέλειν· γλυκύτητι δὲ τῇ κατ' ἐκεῖνο ξυμφύτῳ πρὸς αὐτὸ χρωμένη, καὶ πάντα ὀρθὰ καὶ λεῖα αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα· ἵλεώ τε καὶ εὐήμερον ποιεῖ τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμένην καθ' ὕπνον· ἐπειδὴ λόγου καὶ φρονήσεως οὐ μετεῖχε. μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιστολῆς οἱ συνιστάντες ἡμᾶς, ὅτε τὸ θνητὸν γένος ἐπέστελλεν ὡς ἄριστον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες, καὶ τὸ φαῦλον ἡμῶν ἵνα ἀληθείας πη προσάπτοιτο, κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον. ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν. οὐδεὶς γὰρ ἔννους ἐφάπτεται μαντικῆς ἐνθέου καὶ ἀ-

ληθοῦς, ἀλλ' ἢ καθ' ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν, ἢ διὰ νόσον, ἤ τινα ἐνθουσιασμὸν, παραλλάξας. ἀλλὰ ξυννοῆσαι μὲν ἔμφρονος τά τε ῥηθέντα ἀναμνησθέντα ὄναρ ἢ ὕπαρ ὑπὸ τῆς μαντικῆς τε καὶ ἐνθουσιαστικῆς φύσεως, καὶ ὅσα ἂν φάσματα ὀφθῇ, πάντα λογισμῷ διελέσθαι, ὅπη τι σημαίνει καὶ ὅτῳ, μέλλοντος, ἢ παρελθόντος, ἢ παρόντος κακοῦ ἢ ἀγαθοῦ. τοῦ δὲ μανέντος, ἔτι τε ἐν τούτῳ μένοντος, οὐκ ἔργον τὰ φανέντα ἢ φωνηθέντα ὑφ' ἑαυτοῦ κρίνειν· ἀλλ' εὖ καὶ πάλαι λέγεται, τὸ πράττειν καὶ γνῶναι τά τε αὑτοῦ καὶ ἑαυτὸν, σώφρονι μόνῳ προσήκειν. ὅθεν δὴ καὶ τὸ τῶν προφητῶν γένος ἐπὶ ταῖς ἐνθέοις μαντείαις κριτὰς ἐπικαθιστάναι νόμος· οὓς μάντεις ἐπονομάζουσι τινὲς, τὸ πᾶν ἠγνοηκότες ὅτι τῆς δι' αἰνιγμῶν οὗτοι φήμης καὶ φαντάσεως ὑποκριταί· καὶ οὔτοι μάντεις, προφῆται δὲ μαντευομένων δικαιότατα ὀνομάζοιντ' ἄν. ἡ μὲν οὖν φύσις τοῦ ἥπατος, διὰ ταῦτα, τοιαύτη δὲ, καὶ ἐν τόπῳ ᾧ λέγομεν, πέφυκε, χάριν μαντικῆς. καὶ ἔτι μὲν δὴ ζῶντος ἑκάστου τῶν τοιούτων, σημεῖα ἐναργέστερα ἔχει· στερηθὲν δὲ τοῦ ζῆν, γέγονε τυφλὸν, καὶ μαντεῖα ἀμυδρότερα ἔσχε τοῦ τι σαφὲς σημαίνειν. ἡ δ' αὖ τοῦ γείτονος αὐτῷ ξύστασις καὶ ἕδρα σπλάγχνου, γέγονεν ἐξ ἀριστερᾶς, χάριν ἐκείνου τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ καὶ καθαρὸν οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον, ἀεὶ παρακείμενον ἐκμαγεῖον. διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρσίαι γίγνωνται διὰ νόσον σώματος περὶ τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται

μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος. ὅθεν, πληρούμενος τῶν ἀποκαθαιρομένων, μέγας καὶ ὕπουλος αὐξάνεται· καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει. τὰ μὲν οὖν περὶ τῆς ψυχῆς, ὅσον θνητὸν ἔχει καὶ ὅσον θεῖον, καὶ ὅπῃ, καὶ μεθ' ὧν καὶ δι' ἃ χωρὶς ᾠκίσθη, τὸ μὲν ἀληθὲς, ὡς εἴρηται, θεοῦ ξυμφήσαντος, τότ' ἂν οὕτω μόνως διϊσχυριζοίμεθα· τό γε μὴν εἰκὸς ἡμῖν εἰρῆσθαι, καὶ νῦν καὶ ἔτι μᾶλλον ἀνασκοποῦσι διακινδυνευτέον φάναι, καὶ πεφάσθω. Τὸ δ' ἑξῆς δὴ τουτοισὶ κατὰ ταὐτὰ μεταδιωκτέον. ἦν δὲ, τὸ τοῦ σώματος ἐπίλοιπον ᾗ γέγονεν. ἐκ δὴ λογισμοῦ τοιοῦδε ξυνίστασθαι μάλιστ' ἂν αὐτὸ πάντων πρέποι. τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεστῶν ἀκολασίαν ᾔδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος· καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου, διὰ μαργότητα, πολλῷ χρησοίμεθα πλείονι. ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο, καὶ ἀτελὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτῴη, ταῦτα προορώμενοι, τῇ τοῦ περιγενησομένου πόματος ἐδέσματός τε ἕξει τὴν ὠνομασμένην κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν· εἵλιξάν τε πέριξ τὴν τῶν ἐντέρων γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ, ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάσοι· καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν, ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελῇ τὸ γένος ἀνυπήκοον τοῦ θειοτάτου τῶν παρ' ἡμῖν. Τὸ δὲ ὀστῶν καὶ σαρκῶν καὶ τῆς τοιαύτης φύσεως πέρι πάσης, ὧδε ἔσχε. τούτοις ξύμπασιν ἀρχὴ μὲν ἡ τοῦ μυελοῦ γένεσις. οἱ γὰρ τοῦ βίου δε-

σμοὶ, τῆς ψυχῆς τῷ σώματι ξυνδουμένης, ἐν τούτῳ διαδούμενοι, κατεῤῥίζουν τὸ θνητὸν γένος· αὐτὸς δὲ ὁ μυελὸς γέγονεν ἐξ ἄλλων. τῶν γὰρ τριγώνων ὅσα πρῶτα ἀστραβῆ καὶ λεῖα ὄντα, πῦρ τε καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν δι' ἀκριβείας μάλιστα ἦν παρασχεῖν δυνατά, ταῦτα ὁ θεὸς ἀπὸ τῶν ἑαυτῶν ἕκαστα γενῶν χωρὶς ἀποκρίνων, μιγνὺς δ' ἀλλήλοις σύμμετρα, πανσπερμίαν παντὶ θνητῷ γένει μηχανώμενος, τὸν μυελὸν ἐξ αὐτῶν ἀπειργάσατο. καὶ μετὰ ταῦτα δὴ φυτεύων ἐν αὐτῷ, κατέδει τὰ τῶν ψυχῶν γένη· σχημάτων τε ὅσα ἔμελλεν αὖ σχήσειν οἷά τε καθ' ἕκαστα εἴδη τὸν μυελὸν αὐτὸν, τοσαῦτα καὶ τοιαῦτα διῃρεῖτο σχήματα εὐθὺς ἐν τῇ διανομῇ τῇ κατ' ἀρχάς. καὶ τὴν μὲν, τὸ θεῖον σπέρμα, οἷον ἄρουραν, μέλλουσαν ἕξειν ἐν αὑτῇ, περιφερῆ πανταχῇ πλάσας, ἐπωνόμασε τοῦ μυελοῦ ταύτην τὴν μοῖραν, ἐγκέφαλον· ὡς, ἀποτελεσθέντος ἑκάστου ζώου, τὸ περὶ τοῦτο ἀγγεῖον κεφαλὴν γενησόμενον· ὃ δ' ἂν τὸ λοιπὸν καὶ θνητὸν τῆς ψυχῆς ἔμελλε καθέξειν, ἅμα στρογγύλα καὶ προμήκη διῃρεῖτο σχήματα. μυελὸν δὲ πάντα ἐπεφήμισε· καὶ, καθάπερ ἐξ ἀγκυρῶν, βαλλόμενος ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς, περὶ αὐτὸ ξύμπαν ἤδη τὸ σῶμα ἡμῶν ἀπειργάζετο· στέγασμα μὲν αὐτῷ πρῶτον ξυμπηγνὺς περὶ ὅλον, ὀστεΐνον. τὸ δὲ ὀστοῦν ξυνίστησιν ὧδε· γῆν διατρήσας καθαρὰν καὶ λείαν, ἀνεφύρασε καὶ ἔδευσε μυελῷ· καὶ μετὰ τοῦτο, εἰς πῦρ αὐτὸ ἐντίθησι. μετ' ἐκεῖνο δέ, εἰς ὕδωρ βάπτει, πάλιν δὲ εἰς πῦρ· αὖθίς τε εἰς ὕδωρ. μεταφέρων δ' οὕτως πολλάκις εἰς ἑκά-

τερον, ὑπ' ἀμφοῖν ἄτηκτον ἀπειργάσατο. καταχρώμενος δὴ τούτῳ, περὶ μὲν τὸν ἐγκέφαλον αὐτοῦ σφαῖραν περιετόρνευσεν ὀστεΐνην, ταύτῃ δὲ στενὴν διέξοδον κατελίπετο. καὶ περὶ τὸν διαυχένιον ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ αὐτοῦ σφονδύλους πλάσας, ὑπέτεινεν οἷον στρόφιγγας, ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς, διὰ παντὸς τοῦ κύτους. καὶ τὸ πᾶν δὴ σπέρμα διασώζων, οὕτω λιθοειδεῖ περιβόλῳ ξυνέφραξεν, ἐμποιῶν ἄρθρα, τῇ θατέρου προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ ἐνισταμένῃ δυνάμει, κινήσεως καὶ κάμψεως ἕνεκα. τὴν δ' αὖ τῆς ὀστεΐνης φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος κραυροτέραν εἶναι καὶ ἀκαμπτοτέραν, διάπυρόν τ' αὖ γιγνομένην, καὶ πάλιν ψυχομένην, σφακελίσασαν, ταχὺ διαφθερεῖν τὸ σπέρμα ἐντὸς αὐτῆς· διὰ ταῦτα οὕτω τῶν νεύρων καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανήσατο, ἵνα τῷ μὲν πάντα τἄλλα μέλη ξυνδήσας, ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ, περὶ τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον παρέχοι. τὴν δὲ σάρκα, προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων, ἔτι δὲ πτωμάτων, οἷον τὰ πιλητὰ ἔσεσθαι κτήματα, σώμασι μαλακῶς καὶ πρᾴως ὑπείκουσαν. θερμὴν δὲ νοτίδα ἐντὸς αὐτῆς ἔχουσαν· θέρους μὲν ἀνιδροῦσαν καὶ νοτιζομένην ἔξωθεν, ψύχος κατὰ πᾶν τὸ σῶμα παρέξειν οἰκεῖον· διὰ χειμῶνος δὲ πάλιν αὖ τούτῳ τῷ πυρὶ τὸν προσφερόμενον ἔξωθεν καὶ περιϊστάμενον πάγον ἀμυνεῖσθαι μετρίως. ταῦτα ἡμῶν διανοηθεὶς ὁ κηροπλάστης, ὕδατι μὲν καὶ πυρὶ καὶ γῇ συμμίξας καὶ συναρμόσας, ἐξ ὀξέος καὶ ἁλμυροῦ ξυνθεὶς

ζύμωμα, καὶ ὑπομίξας αὐτοῖς, σάρκα ἔγχυμον καὶ μαλακὴν ξυνέστησε. τὴν δὲ τῶν νεύρων φύσιν, ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως, μίαν ἐξ ἀμφοῖν μέσην δυνάμει ξυνεκεράσατο, ξανθῷ χρώματι προσχρώμενος. ὅθεν συντονωτέραν μὲν καὶ γλισχροτέραν σαρκῶν, μαλακωτέραν δὲ ὀστῶν ὑγροτέραν τε ἐκτήσατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ πάντα αὐτὰ κατεσκίασεν ἄνωθεν. ὅσα μὲν οὖν ἐμψυχότατα τῶν ὀστῶν ἦν, ὀλιγίσταις ξυνέφραττε σαρξίν· ἃ δ᾽ ἀψυχότατα, ἐντὸς πλείσταις καὶ πυκνοτάταις. καὶ δὴ κατὰ τὰς ξυμβολὰς τῶν ὀστῶν, ὅπῃ μή τινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν αὐτὰς εἶναι, βραχεῖαν σάρκα ἔφυσεν· ἵνα μήτε ἐμποδὼν ταῖς καμπαῖς οὖσαι, δύσφορα τὰ σώματα ἀπεργάζοιντο, ἅτε δυσκίνητα γιγνόμενα· μήτ᾽ αὖ πολλαὶ καὶ πυκναί, σφόδρα τε ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ στερεότητα ἀναισθησίαν ἐμποιοῦσαι, δυσμνημονευτότερα καὶ κουφότερα τὰ περὶ τὴν διάνοιαν ποιοῖεν. διὸ δὴ τό, τε τῶν μηρῶν καὶ κνημῶν, καὶ τὸ περὶ τὴν τῶν ἰσχίων φύσιν, τά τε τῶν βραχιόνων ὀστᾶ καὶ τὰ τῶν πήχεων, καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα, ὅσά τε ἐντὸς ὀστᾶ, δι᾽ ὀλιγότητα ψυχῆς ἐν μυελῷ, κενά ἐστι φρονήσεως, πάντα ταῦτα ξυμπεπλήρωται σαρξίν· ὅσα δ᾽ ἔμφρονα, ἧττον. εἰ μή που τινὰ αὐτὴν καθ᾽ αὐτὴν αἰσθήσεων ἕνεκα σάρκα οὕτω ξυνέστησεν, οἷον τὸ τῆς γλώττης εἶδος. τὰ δὲ πλεῖστα, ἐκείνως. ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη καὶ ξυντρεφομένη φύσις οὐδαμῇ προσδέχεται πυκνὸν ὀστοῦν, καὶ σάρκα πολλήν, ἅ-

μα τε αὐτοῖς ὀξυήκοον αἴσθησιν. μάλιστα γὰρ ἂν αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν ξύστασις, εἴπερ ἅμα συμπίπτειν ἠθελησάτην. καὶ τὸ τῶν ἀνθρώπων γένος σαρκώδη ἔχον ἐν ἑαυτῷ καὶ νευρώδη κρατεράν τε κεφαλὴν, βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν, καὶ ὑγιεινότερον καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς, λογιζομένοις πότερον πολυχρονιώτερον, χεῖρον, ἢ βραχυχρονιώτερον, βέλτιον ἀπεργάσαιντο γένος, ξυνέδοξε, τοῦ πλείονος βίου, φαυλοτέρου δὲ, τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως αἱρετέον. ὅθεν δὴ μανῷ μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύροις, κεφαλὴν, ἅτε οὐδὲ καμπὰς ἔχουσαν, οὐ ξυνεστέγασαν. κατὰ πάντ' οὖν ταῦτα, εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι. τὰ δὲ νεῦρα διὰ ταῦτα καὶ οὕτως ὁ θεὸς ἐπ' ἐσχάτην τὴν κεφαλὴν περιστήσας, κύκλῳ περὶ τὸν τράχηλον ἐκόλλησεν ὁμοιότητι, καὶ τὰς σιαγόνας ἄκρας αὐτοῖς ξυνέδησεν ὑπὸ τὴν φύσιν τοῦ προσώπου· τὰ δ' ἄλλα εἰς ἅπαντα τὰ μέλη διέσπειρε, ξυνάπτων ἄρθρον ἄρθρῳ. τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ νῦν διατέτακται· τὴν μὲν εἴσοδον, τῶν ἀναγκαίων μηχανώμενοι χάριν· τὴν δὲ ἔξοδον, τῶν ἀρίστων. ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι· τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον, καὶ ὑπηρετοῦν φρονήσει, κάλλιστον καὶ ἄριστον πάντων ναμάτων. τὴν δ' αὖ κεφαλὴν, οὔτε

μόνον ὀστεΐνην ψιλὴν δυνατὸν ἐᾶν ἦν, διὰ τὴν ἐν ταῖς ὥραις ἐφ᾽ ἑκάτερον ὑπερβολήν· οὔτ᾽ αὖ ξυσκιασθεῖσαν, κωφὴν καὶ ἀναίσθητον, διὰ τὸν τῶν σαρκῶν ὄχλον, περιϊδεῖν γιγνομένην. τῆς δὴ σαρκοειδοῦς φύσεως οὐ καταξηραινομένης, λεῖμμα μεῖζον περιγιγνόμενον ἐχωρίζετο, τὸ νῦν λεγόμενον δέρμα. τοῦτο διὰ τὴν περὶ τὸν ἐγκέφαλον νοτίδα ξυνιὸν αὐτὸ πρὸς αὑτὸ, καὶ βλαστάνον, κύκλῳ περιημφιέννυ τὴν κεφαλήν. ἡ δὲ νοτὶς ὑπὸ τὰς ῥαφὰς ἀνιοῦσα ἦρδε καὶ συνέκλειεν αὐτὸ ἐπὶ τὴν κορυφὴν, οἷον ἅμμα ξυναγαγοῦσα. τὸ δὲ τῶν ῥαφῶν παντοδαπὸν εἶδος γέγονε διὰ τὴν τῶν περιόδων δύναμιν, καὶ τῆς τροφῆς· μᾶλλον μὲν ἀλλήλοις μαχομένων τούτων, πλείους· ἧττον δὲ, ἐλάττους. τοῦτο δὴ πᾶν τὸ δέρμα κύκλῳ κατεκέντει πυρὶ τὸ θεῖον. τρυθέντος δὲ, καὶ τῆς ἰκμάδος ἔξω δι᾽ αὐτοῦ φερομένης, τὸ μὲν ὑγρὸν καὶ θερμὸν ὅσον εἰλικρινὲς ἀπῄει· τὸ δὲ μικτὸν, ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον μὲν ὑπὸ τῆς φορᾶς ἔξω, μακρὸν ἐτείνετο, λεπτότητα ἴσην ἔχον τῷ κατακεντήματι· διὰ δὲ βραδυτῆτα ἀπωθούμενον ὑπὸ τοῦ περιεστῶτος ἔξωθεν πνεύματος, πάλιν ἐντὸς ὑπὸ τὸ δέρμα εἱλλόμενον κατεῤῥιζοῦτο. καὶ κατὰ ταῦτα δὴ τὰ πάθη, τῶν τριχῶν τὸ γένος ἐν τῷ δέρματι πέφυκε, ξυγγενὲς μὲν, ἱμαντῶδες ὂν, αὐτοῦ, σκληρότερον δὲ καὶ πυκνότερον τῇ πιλήσει τῆς ψύξεως· ἣν ἀποχωριζομένη δέρματος ἑκάστη θρὶξ, ψυχθεῖσα ξυνεπιλήθη. τούτῳ δὴ λασίαν ἡμῶν ἀπειργάσατο την κεφαλὴν ὁ ποιῶν, χρώμενος μὲν αἰτίοις τοῖς εἰρημένοις, διανοούμενος δὲ ἀντὶ σαρκὸς αὐτὸ δεῖν εἶναι στε-

γασμα, τῆς περὶ τὸν ἐγκέφαλον ἕνεκα ἀσφαλείας, κοῦφον, καὶ θέρους χειμῶνός τε ἱκανὸν σκιὰν καὶ σκέπην παρέχειν· εὐαισθησίας δὲ οὐδὲν διακώλυμα ἐμποδὼν γενησόμενον. τὸ δὲ ἐν τῇ περὶ τοὺς δακτύλους καταπλοκῇ τοῦ νεύρου καὶ τοῦ δέρματος, ὀστοῦ τε, συμμιχθὲν ἐκ τριῶν, ἀποξηρανθὲν, ἓν κοινὸν ξυμπάντων σκληρὸν γέγονε δέρμα· τοῖς μὲν ξυναιτίοις τούτοις δημιουργηθὲν, τῇ δ' αἰτιωτάτῃ διανοίᾳ, τῶν ἔπειτα ἐσομένων ἕνεκα εἰργασμένον. ὡς γάρ ποτε ἐξ ἀνδρῶν γυναῖκες καὶ τἄλλα θηρία γενήσοιτο, ἠπίσταντο οἱ ξυνιστάντες ἡμᾶς. καὶ δὴ καὶ τῆς τῶν ὀνύχων χρείας, ὅτι πολλὰ τῶν θρεμμάτων καὶ ἐπὶ πολλὰ δεήσοιντο ᾔδεσαν. ὅθεν ἐν ἀνθρώποις εὐθὺς γιγνομένοις ὑπετυπώσαντο τὴν τῶν ὀνύχων γένεσιν. τούτῳ δὴ τῷ λόγῳ, καὶ ταῖς προφάσεσι ταύταις, δέρμα, τρίχας, ὄνυχάς τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν. Ἐπεὶ δὲ πάντ' ἦν τὰ τοῦ θνητοῦ ζώου ξυμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ καὶ πνεύματι ξυνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτὸ, καὶ διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον κενούμενόν τε ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῶον εἶναι, φυτεύουσιν· ἃ νῦν ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα φυτευθέντα ὑπὸ γεωργίας, τιθασσῶς πρὸς ἡμᾶς ἔσχε. πρὶν δ' ἦν μόνα τὰ τῶν ἀγρίων γένη, πρεσβύτερα τῶν ἡμέρων ὄντα. πᾶν γάρ ὅ, τι περ ἂν μετάσχῃ τοῦ ζῆν, ζῶον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα· μετέχει γεμὴν τοῦτο ὃ νῦν λέγομεν, τοῦ

τρίτου ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρύσθαι λόγος· ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδὲν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς, μετὰ ἐπιθυμιῶν. πάσχον γὰρ διατελεῖ πάντα. στραφέντι δ' αὐτῷ περὶ αὑτὸ, τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δ' οἰκείᾳ χρησαμένῳ, τῶν αὑτοῦ τι λογίσασθαι κατιδόντι φύσιν οὐ παραδέδωκεν ἡ γένεσις. διὸ δὴ ζῇ μὲν, ἔστι δὲ οὐχ ἕτερον ζώου. μόνιμον δὲ κατεῤῥιζωμένον πέπηγε, διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἐστερῆσθαι. ταῦτα δὴ τὰ γένη φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν, τροφὴν τῷ σώματι ἡμῶν διωχέτευσαν, τέμνοντες οἷον ἐν κήποις ὀχετοὺς, ἵν' ὥσπερ ἐκ νάματος ἐπιόντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἔτεμον νωτιαίας, δίδυμον ὡς τὸ σῶμα ἐτύγχανεν δεξιοῖς τε καὶ ἀριστεροῖς ὄν. ταύτας δὲ καθῆκαν παρὰ τὴν ῥάχιν, καὶ τὸν γόνιμον μεταξὺ λαβόντες μυελὸν, ἵνα οὗτός τε ὅτιμάλιστα θάλλοι, καὶ ἐπὶ τἄλλα εὔρους ἐντεῦθεν, ἅτ' ἐπὶ κάταντες, ἡ ἐπίχυσις γιγνομένη, παρέχοι τὴν ὑδρείαν ὁμαλήν. μετὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας, καὶ δι' ἀλλήλων ἐναντίας πλέξαντες, διεῖσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν, ἐπὶ τὰ ἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν ἀριστερῶν, ἐπὶ τὰ δεξιὰ κλίναντες· ὅπως δεσμὸς ἅμα τῇ κεφαλῇ πρὸς τὸ σῶμα εἴη μετὰ τοῦ δέρματος, ἐπειδὴ νεύροις οὐκ ἦν κύκλῳ κατὰ κορυφὴν διειλημμένη· καὶ δὴ τὸ τῶν αἰσθήσεων πάθος ἵν' ἀφ' ἑκατέρων τῶν μερῶν εἰς ἅπαν τὸ σῶμα ᾖ διαδιδόμενον.

τὸ δ' ἐντεῦθεν ἤδη τὴν ὑδραγωγίαν παρεσκεύασαν τρόπῳ τινὶ τοιῷδε· ὃν κατοψόμεθα ῥᾷον, προδιομολογησάμενοι τὸ τοιόνδε· ὅτι πάντα ὅσα ἐξ ἐλαττόνων συνίσταται, στέγει τὰ μείζω· τὰ δ' ἐκ μειζόνων, τα σμικρότερα οὐ δύναται. πῦρ δὲ πάντων γενῶν σμικρομερέστατον. ὅθεν δι' ὕδατος καὶ γῆς ἀέρος τε, καὶ ὅσα ἐκ τούτων συνίσταται, διαχωρεῖ, καὶ στέγειν οὐδὲν αὐτὸ δύναται. ταὐτὸ δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητίον· ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ, στέγει· πνεῦμα δὲ καὶ πῦρ, μικρομερέστερα ὄντα τῆς αὐτῆς ξυστάσεως, οὐ δύναται. τούτοις οὖν κατεχρήσατο ὁ θεὸς εἰς τὴν ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν· πλέγμα ἐξ ἀέρος καὶ πυρὸς, οἷοι κύρτοι, ξυνυφηνάμενος, διπλᾶ κατὰ τὴν εἴσοδον ἐγκύρτια ἔχοντος. ὧν θάτερον πάλιν διέπλεξε δίκρουν, καὶ ἀπὸ τῶν ἐγκυρτίων δὴ διετείνατο οἷον σχοίνους κύκλῳ διὰ παντὸς πρὸς τὰ ἔσχατα τοῦ πλέγματος. τὰ μὲν οὖν ἔνδον ἐκ πυρὸς συνεστήσατο τοῦ πλοκάνου, ἅπαντα· τὰ δ' ἐγκύρτια καὶ τὸ κύτος, ἀεροειδῆ. καὶ λαβὼν αὐτὰ περιέστησεν ἐν τῷ πλασθέντι ζώῳ, τρόπῳ τοιῷδε· τὸ μὲν τῶν ἐγκυρτίων, εἰς τὸ στόμα μεθῆκε· διπλοῦ δὲ ὄντος αὐτοῦ, κατὰ μὲν τὰς ἀρτηρίας εἰς τὸν πνεύμονα καθῆκε θάτερον, τὸ δ' εἰς τὴν κοιλίαν, παρὰ τὰς ἀρτηρίας· τὸ δ' ἕτερον, σχίσας τὸ μέρος ἑκάτερον, κατὰ τοὺς ὀχετοὺς τῆς ῥινὸς ἀφῆκε κοινόν· ὥσθ' ὅτε μὴ κατὰ στόμα ἴοι θάτερον, ἐκ τούτου πάντα καὶ τὰ ἐκείνου ῥεύματα ἀναπληροῦσθαι. τὸ δ' ἄλλο κύτος τοῦ κύρτου, περὶ τὸ σῶμα ὅσον κοῖλον ἡμῶν πε-

ριέφυσε. καὶ πᾶν δὴ τοῦτο, τοτὲ μὲν εἰς τὰ ἐγκύρτια ξυῤῥεῖν μαλακῶς, ἅτε ἀέρα ὄντα, ἐποίησε· τοτὲ δὲ, ἀναῤῥεῖν μὲν τὰ ἐγκύρτια, τὸ δὲ πλέγμα, ὡς ὄντος τοῦ σώματος μανοῦ, δύεσθαι εἴσω δι᾽ αὐτοῦ, καὶ πάλιν ἔξω. τὰς δ᾽ ἐντὸς τοῦ πυρὸς ἀκτῖνας διαδεδεμένας ἀκολουθεῖν, ἐφ᾽ ἑκάτερα ἰόντος τοῦ ἀέρος· καὶ τοῦτο, ὥσπερ ἂν ξυνεστήκῃ τὸ θνητὸν ζῶον, μὴ διαπαύεσθαι γιγνόμενον. τούτῳ δὲ δὴ τῷ γένει, τὸν τὰς ἐπωνυμίας θέμενον, ἀναπνοὴν καὶ ἐκπνοὴν λέγομεν θέσθαι τοὔνομα. πᾶν δὲ δὴ τό, τ᾽ ἔργον καὶ τὸ πάθος τοῦθ᾽ ἡμῶν τῷ σώματι γέγονεν ἀρδομένῳ καὶ ἀναψυχομένῳ τρέφεσθαι καὶ ζῆν. ὁπόταν γὰρ ἔσω καὶ ἔξω, τῆς ἀναπνοῆς ἰούσης, τὸ πῦρ ἐντὸς ξυνημμένον ἕπηται, διαιωρούμενον δὲ ἀεὶ, διὰ τῆς κοιλίας εἰσελθὸν τὰ σιτία καὶ ποτὰ λάβοι, τήκει δή· καὶ κατὰ σμικρὰ διαιροῦν, διὰ τῶν ἐξόδων, ᾗπερ πορεύεται, διάγον, οἷον ἐκ κρήνης ἐπ᾽ ὀχετοὺς ἐπὶ τὰς φλέβας ἀντλοῦν αὐτὰ, ῥεῖν ὥσπερ αὐλῶνος, διὰ τοῦ σώματος, τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα. *Πάλιν* δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις τοιοῦτον γέγονεν οἷόν περ τανῦν ἐστιν. ὧδ᾽ οὖν. ἐπειδὴ κενὸν οὐδέν ἐστιν εἰς ὃ τῶν φερομένων δύναιτ᾽ ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ᾽ ἡμῶν ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον, ὡς οὐκ εἰς κενὸν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ. τὸ δὲ ὠθούμενον ἐξελαύνει τὸ πλησίον ἀεὶ, καὶ κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα εἰσιὸν ἐκεῖσε, καὶ ἀναπληροῦν αὐτὴν, ξυνέπεται τῷ πνεύματι. καὶ τοῦτο ἅμα

πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται, διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν στηθῶν καὶ τὸ τοῦ πνεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα, πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκῶν δυομένου καὶ περιελαυνομένου, γίνεται πλῆρες. αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ, καὶ διὰ τοῦ σώματος ἔξω ἰὼν, εἴσω τὴν ἀναπνοὴν περιωθεῖ, κατὰ τὴν τοῦ στόματος καὶ τὴν τῶν μυκτήρων δίοδον. Τὴν δὲ αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. πᾶν ζῶον αὐτοῦ πάντως περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότητα ἔχει, οἷον ἐν αὐτῷ πηγήν τινα ἐνοῦσαν πυρός. ὃ δὴ καὶ προσεικάζομεν τῷ τοῦ κύρτου πλέγματι κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν· τὰ δὲ ἄλλα ὅσα ἔξωθεν, ἀέρος. τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὑτοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς ὁμολογητέον ἰέναι. δυοῖν δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν, κατὰ τὸ σῶμα ἔξω, τῆς δὲ αὖ κατὰ τὸ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ. τὸ δὲ περιωσθὲν, εἰς τὸ πῦρ ἐμπίπτον, θερμαίνεται, τὸ δ' ἐξιὸν, ψύχεται. μεταβαλούσης δὲ τῆς θερμότητος, καὶ τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων, πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον μᾶλλον, πρὸς τὴν αὑτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ θάτερα. τὸ δὲ, τὰ αὐτὰ πάσχον καὶ τὰ αὐτὰ ἀνταποδιδὸν ἀεὶ, κύκλῳ οὕτω σαλευόμενον, ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ' ἀμφοτέρων, τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνεσθαι παρέχεται. καὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια, καὶ τὰ τῆς πόσεως, τά τε τῶν ῥιπτουμένων,

ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διωκτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς, ὀξεῖς τε καὶ βαρεῖς φαίνονται· τοτὲ μὲν, ἀνάρμοστοι φερόμενοι, δι' ἀνομοιότητα τῆς ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως· τοτὲ δὲ, ξύμφωνοι, δι' ὁμοιότητα. τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι κινήσεις ἀποπαυομένας, ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, αἷς ὕστερον αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας, καταλαμβάνουσι· καταλαμβάνοντες δὲ, οὐκ ἄλλην ἐπεμβάλλοντες ἐνετάραξαν κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς, κατὰ τὴν τῆς θάττονος. ἀποληγούσης δὲ ὁμοιότητα προσάψαντες, μίαν ἐξ ὀξείας καὶ βαρείας συνεκεράσαντο πάθην. ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι, διὰ τὴν τῆς θείας ἁρμονίας μίμησιν, ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, ἔτι δὲ τῶν κεραυνῶν πτώματα, καὶ τὰ θαυμαζόμενα ἠλέκτρων πέρι τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων, πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενὶ ποτέ· τὸ δὲ κενὸν εἶναι μηδὲν, περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, τό, τε διακρινόμενα καὶ συγκρινόμενα πρὸς τὴν αὑτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἰέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα συμπλεχθεῖσι, τεθαυματουργημένα τῷ κατὰ τρόπον ζητοῦντι φανήσεται. καὶ δὴ καὶ τὸ τῆς ἀναπνοῆς (ὅθεν ὁ λόγος ὥρμησε) κατὰ ταῦτα καὶ διὰ τούτων γέγονεν, ὥσπερ ἐν τοῖς πρόσθεν εἴρηται, τέμνοντος μὲν τὰ σιτία τοῦ πυρὸς, αἰωρουμένου δὲ ἐντὸς τῷ πνεύματι ξυνεπομένου, τὰς φλέβας δὲ ἐκ τῆς

κοιλίας τῇ ξυναιωρήσει πληροῦντος, τῷ τὰ τετμημένα αὐτόθεν ἐπαντλεῖν, καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζώοις τὰ τῆς τροφῆς νάματα οὕτως ἐπιῤῥυτα γεγονέναι. νεότμητα δὲ καὶ ἀπὸ ξυγγενῶν ὄντα, τὰ μὲν, καρπῶν, τὰ δὲ, χλόης, ἃ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφὴν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν ξύμμιξιν· ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὸ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις. ὅθεν τοῦ κατὰ τὸ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν, ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος. ὅθεν ὑδρευόμενα ἕκαστα, πληροῖ τὴν τοῦ κενουμένου βάσιν. ὁ δὲ τρόπος τῆς πληρώσεως ἀποχωρήσεώς τε γίγνεται, καθάπερ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν, ἣν τὸ ξυγγενὲς πᾶν φέρεται πρὸς ἑαυτό. τὰ μὲν γὰρ δὴ περιεστῶτα ἐκτὸς ἡμᾶς, τήκει τε ἀεὶ καὶ διανέμει πρὸς ἕκαστον εἶδος τὸ ὁμόφυλον ἀποπέμπον· τὰ δὲ ἔναιμα αὖ, κερματισθέντα ἐντὸς παρ' ἡμῖν καὶ περιειλημμένα, ὥσπερ ὑπ' οὐρανοῦ ξυνεστῶτος ἑκάστου τοῦ ζώου, τὴν τοῦ παντὸς ἀναγκάζεται μιμεῖσθαι φοράν. πρὸς τὸ ξυγγενὲς οὖν φερόμενον ἕκαστον τῶν ἐντὸς μερισθέντων, τὸ κενωθὲν τότε πάλιν ἀνεπλήρωσεν. ὅταν μὲν δὴ πλέον τοῦ ἐπιῤῥέοντος ἀπίῃ, φθίνει πᾶν· ὅταν δὲ ἔλαττον, αὐξάνεται. νέα μὲν οὖν ξύστασις τοῦ παντὸς ζώου, καινὰ τὰ τρίγωνα οἷον ἐκ δρυόχων ἔτι ἔχουσα τῶν γενῶν, ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται· ξυμπέπηγε δὲ ὁ πᾶς ὄγκος αὐτῆς

ἁπαλὸς, ἅτε ἐκ μυελοῦ μὲν νεωστὶ γεγονυίας, τεθραμμένης δὲ ἐν γάλακτι. τὰ δὴ περιλαμβανόμενα ἐν αὐτῇ τρίγωνα, ἔξωθεν ἐπεισελθόντα, ἐξ ὧν ἂν ᾖ τά τε σιτία καὶ ποτὰ, τῶν αὐτῆς τριγώνων παλαιότερα ὄντα καὶ ἀσθενέστερα καινοῖς ἐπικρατεῖ τέμνουσα· καὶ μέγα ἀπεργάζεται τὸ ζῶον, τρέφουσα ἐκ πολλῶν ὁμοίων. ὅταν δὴ ῥίζαν τῶν τριγώνων χαλᾷ, διὰ τὸ πολλοὺς ἀγῶνας ἐν πολλῷ χρόνῳ πρὸς πολλὰ ἠγωνίσθαι, τὰ μὲν τῆς τροφῆς εἰσιόντα οὐκέτι δύναται τέμνειν εἰς ὁμοιότητα ἑαυτῆς, αὐτὰ δὲ ὑπὸ τῶν ἔξωθεν ἐπεισιόντων εὐπετῶς διαιρεῖται. Φθίνει δὴ πᾶν ζῶον ἐν τούτῳ κρατούμενον· γῆράς τε ὀνομάζεται τὸ πάθος. τέλος δὲ, ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ ξυναρμοσθέντες μηκέτι ἀντέχωσι δεσμοὶ, τῷ πόνῳ διϊστάμενοι μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς. ἡ δὲ κατὰ φύσιν λαθοῦσα, μεθ᾽ ἡδονῆς ἐξέπτατο. πᾶν γὰρ τὸ μὲν παρὰ φύσιν, ἀλγεινόν· τὸ δ᾽ ᾗ πέφυκε γιγνόμενον, ἡδύ. καὶ θάνατος δὴ κατὰ ταῦτα, ὁ μὲν κατὰ νόσους καὶ τραύματα γιγνόμενος, ἀλγεινὸς καὶ βίαιος· ὁ δὲ μετὰ γῆρας ἰὼν ἐπὶ τέλος κατὰ φύσιν, ἀπονώτατος τῶν θανάτων, καὶ μᾶλλον μεθ᾽ ἡδονῆς γιγνόμενος ἢ λύπης. τὸ δὲ τῶν νόσων ὅ ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς, πυρὸς, ὕδατός τε καὶ ἀέρος, τούτων παρὰ τὴν φύσιν πλεονεξία καὶ ἔνδεια, καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ᾽ ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσ-

λαμβάνει, καὶ πάνθ' ὅσα τοιαῦτα στάσεις καὶ νόσους παρέχει. παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου, καὶ μεθισταμένου, θερμαίνεται μὲν ὅσα ἂν περ πρότερον ψύχηται· ξηρὰ δὲ ὄντα, ἐς ὕστερον γίγνεται νοτερά· καὶ κοῦφα δὴ, καὶ βαρέα· καὶ πάσας πάντη μεταβολὰς δέχεται. μόνον γὰρ δὴ, φαμὲν, ταὐτὸ ταὐτῷ κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνάλογον προσγιγνόμενον καὶ ἀπογιγνόμενον, ἐάσει ταὐτὸν ὂν αὑτῷ σῶν καὶ ὑγιὲς μένειν. ὃ δ' ἂν πλημμελήσῃ τούτων ἕκαστον ἀπιὸν ἢ προσιὸν, ἀλλοιότητας παμποικίλας καὶ νόσους, φθοράς τε ἀπείρους παρέξεται. δευτέρων αὖ ξυστάσεων κατὰ φύσιν ξυνεστηκυιῶν, δευτέρα κατανόησις νοσημάτων τῷ βουλομένῳ γίγνεσθαι ξυννοῆσαι. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀστοῦ τε καὶ σαρκὸς καὶ νεύρου ξυμπαγέντος, ἔτι τε αἵματος μὲν, ἄλλον τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ᾗπερ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ ξυμπέπτωκεν· ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται, τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρκες καὶ νεῦρα ἐξ αἵματος γίνεται· νεῦρον μὲν, ἐξ ἰνῶν, διὰ τὴν συγγένειαν· σάρκες δὲ, ἀπὸ τοῦ παγέντος, ὃ πήγνυται χωριζόμενον ἰνῶν. τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν ἀπιὸν αὖ, γλίσχρον καὶ λιπαρὸν, ἅμα μὲν τὴν σάρκα πολλὰ πρὸς τὴν τῶν ὀστῶν φύσιν, αὐτό τε τὸ περὶ τὸν μυελὸν ὀστοῦν τρέφον αὔξει· τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν ὀστῶν διηθούμενον, καθαρώτατον γένος τῶν τριγώνων, λειότατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀστῶν καὶ στάζον,

ἄρδει τὸν μυελόν. καὶ κατὰ ταῦτα μὲν γιγνομένων ἑκάστων, ὑγιαίνειν ξυμβαίνει τὰ πολλά· νοσεῖ δὲ, ὅταν ἐναντίως. ὅταν γὰρ τηκομένη σὰρξ ἀνάπαλιν εἰς τὰς φλέβας τὴν τηκεδόνα ἐξίῃ, τότε μετὰ πνεύματος αἷμα πολύ τε καὶ παντοδαπὸν ἐν ταῖς φλεψὶ χρώμασι καὶ πυκνότησι ποικιλούμενον, ἔτι δὲ ὀξείαις καὶ ἁλμυραῖς δυνάμεσι, χολὰς καὶ ἰχῶρας καὶ φλέγματα ἴσχει παντοῖα. παλιναίρετα γὰρ πάντα γεγονότα καὶ διεφθαρμένα, τό, τε αἷμα αὐτὸ πρῶτον διόλλυσι, καὶ αὐτὰ οὐδεμίαν τροφὴν ἔτι τῷ σώματι παρέχοντα, φέρεται πάντῃ διὰ τῶν φλεβῶν, τάξιν τῶν κατὰ φύσιν ἔχοντα περιόδων· ἐχθρὰ μὲν αὐτὰ αὑτοῖς, διὰ τὸ μηδεμίαν ἑαυτῶν ἀπόλαυσιν ἔχειν· τῷ ξυνεστῶτι δὲ τοῦ σώματος, καὶ μένοντι κατὰ χώραν, πολέμια, διολλύντα καὶ τήκοντα. ὅσον μὲν οὖν αὖ παλαιότατον ὂν τῆς σαρκὸς τακῇ, δύσπεπτον γιγνόμενον, μελαίνει μὲν ὑπὸ παλαιᾶς ξυγκαύσεως· διὰ δὲ τὸ πάντῃ διαβεβρῶσθαι, πικρὸν ὄν, παντὶ χαλεπὸν προσπίπτει τοῦ σώματος, ὅσον ἂν μήπω διεφθαρμένον εἴη. καὶ τοτὲ μὲν, ἀντὶ τῆς πικρότητος ὀξύτητα ἔσχε τὸ μέλαν χρῶμα, ἀπολεπτυνθέντος μᾶλλον τοῦ πικροῦ· τοτὲ δὲ ἡ πικρότης αὖ βαφεῖσα αἵματι, χρῶμα ἔσχεν ἐρυθρότερον· τοῦ δὲ μέλανος τούτῳ ξυγκεραννυμένου, χολῶδες. ἔτι δὲ ξυμμίγνυται ξανθὸν χρῶμα μετὰ τῆς πικρότητος, ὅταν νέα ξυντακῇ σὰρξ ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός. καὶ τὸ μὲν κοινὸν ὄνομα πᾶσι τούτοις ἤ τινες ἰατρῶν που χολὴν ὠνόμασαν, ἢ καί τις ὢν δυνατὸς εἰς πολλὰ μὲν καὶ ἀνόμοια βλέπειν, ὁρᾷν δ' ἐν αὐτοῖς ἓν γένος

ξυνόν, ἄξιον ἐπωνυμίας πᾶσι. τὰ δ᾽ ἄλλα ὅσα χολῆς εἴδη λέγεται, κατὰ τὴν χρόαν ἔσχε λόγον αὐτῶν ἕκαστον ἴδιον. ἰχὼρ δὲ, ὁ μὲν αἵματος ὀῤῥὸς, πρᾷος· ὁ δὲ μελαίνης χολῆς ὀξείας τε, ἄγριος, ὅταν ξυμμιγνύηται διὰ θερμότητα ἁλμυρᾷ δυνάμει. καλεῖται δὲ ὀξὺ φλέγμα τὸ τοιοῦτο. τὸ δ᾽ αὖ μετὰ ἀέρος τηκόμενον ἐκ νέας καὶ ἁπαλῆς σαρκὸς, τούτου δὲ ἀνεμωθέντος καὶ ξυμπεριληφθέντος ὑπὸ ὑγρότητος, καὶ πομφολύγων ξυστασῶν ἐκ τοῦ πάθους τούτου, καθ᾽ ἑκάστην μὲν ἀοράτων διὰ σμικρότητα, ξυναπασῶν δὲ τῶν ὄγκων παρεχομένων ὁρατὸν, χρῶμα ἐχουσῶν, διὰ τὴν τοῦ ἀφροῦ γένεσιν, ἰδεῖν λευκόν· ταύτην πᾶσαν τηκεδόνα ἁπαλῆς σαρκὸς μετὰ πνεύματος ξυμπλακεῖσαν, λευκὸν εἶναι φλέγμα φαμέν. φλέγματος δὲ νέου ξυνισταμένου ὀῤῥὸς, ἱδρὼς καὶ δάκρυον, ὅσα τε ἄλλα τοιαῦτα σῶμα τὸ καθ᾽ ἡμέραν χεῖται καθαιρόμενον. καὶ ταῦτα μὲν δὴ πάντα νόσων ὄργανα γέγονεν, ὅταν αἷμα μὴ ἐκ τῶν σιτίων καὶ ποτῶν ᾖ πληθύον κατὰ φύσιν, ἀλλ᾽ ἐξ ἐναντίων τὸν ὄγκον παρὰ τοὺς τῆς φύσεως λαμβάνῃ νόμους. διακειρομένης μὲν οὖν τῆς σαρκὸς ἑκάστης, μενόντων δὲ τῶν πυθμένων αὐταῖς, ἡμίσεια τῆς ξυμφορᾶς ἡ δύναμις. ἀνάληψιν γὰρ ἔτι μετ᾽ εὐπετείας ἴσχει. τὸ δὲ δὴ σάρκας ὀστοῖς συνδοῦν, ὁπότε νοσήσῃ, καὶ μηκέτι αὖ τὸ ἐξ ἐκείνων ἅμμα καὶ νεύρων ἀποχωριζόμενον, ὀστῷ μὲν τροφὴν, σαρκὶ δὲ πρὸς ὀστοῦν γίγνηται δεσμὸς, ἀλλ᾽ ἐκ λιπαροῦ καὶ λείου καὶ γλίσχρου, τραχὺ καὶ ἁλμυρὸν αὐχμῆσαν ὑπὸ κακῆς διαίτης γένηται· τότε ταῦτα πάσχον πᾶν τὸ τοιοῦτον,

καταψύχεται μὲν αὐτὸ πάλιν ὑπὸ τάς σάρκας καὶ τὰ νεῦρα, ἀφιστάμενον ἀπὸ τῶν ὀστῶν· αἱ δ᾽ ἐκ τῶν ῥιζῶν ξυνεμπίπτουσαι τά τε νεῦρα γυμνὰ καταλείπουσι καὶ μετὰ ἅλμης. αὗται δὲ πάλιν εἰς τὴν τοῦ αἵματος φορὰν ἐμπεσοῦσαι, τὰ πρόσθεν ῥηθέντα νοσήματα, πλείω ποιοῦσι. χαλεπῶν δὲ τούτων περὶ τὰ σώματα παθημάτων γιγνομένων, μείζω ἔτι γίγνεται τὰ πρὸ τούτων· ὅταν ὀστοῦν, διὰ πυκνότητα σαρκὸς, ἀναπνοὴν μὴ λαμβάνον ἱκανὴν, ὑπ᾽ εὐρῶτος θερμαινόμενον, σφακελίσαν, μήτε τὴν τροφὴν καταδέχηται· πάλιν τε αὐτὸ εἰς ἐκείνην ἐναντίως ἴῃ ψυχόμενον, ἡ δ᾽ εἰς σάρκας· σὰρξ δὲ εἰς αἷμα ἐμπίπτουσα, τραχύτερα πάντα τῶν πρόσθεν τὰ νοσήματα ἀπεργάζηται. τὸ δ᾽ ἔσχατον πάντων, ὅταν ἡ τοῦ μυελοῦ φύσις ἀπ᾽ ἐνδείας ἤ τινος ὑπερβολῆς νοσήσῃ, τὰ μέγιστα καὶ κυριώτατα πρὸς θάνατον τῶν νοσημάτων ἀποτελεῖ, πάσης ἀνάπαλιν τῆς τοῦ σώματος φύσεως ἐξ ἀνάγκης ῥυείσης. Τρίτον δ᾽ αὖ νοσημάτων εἶδος τριχῇ δεῖ διανοεῖσθαι γιγνόμενον· τὸ μὲν, ὑπὸ πνεύματος, τὸ δὲ, φλέγματος, τὸ δὲ, χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας πνεύμων μὴ καθαρὰς τὰς διεξόδους παρέχῃ, ὑπὸ ῥευμάτων φραχθεὶς, ἔνθα μὲν οὐκ ἰὸν, ἔνθα δὲ πλέον ἢ τὸ προσῆκον πνεῦμα εἰσιὸν, τὰ μὲν οὐ τυγχάνοντα ἀναψυχῆς, σήπει, τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον, καὶ ξυνεπιστρέφον αὐτὰ, τῆκόν τε τὸ σῶμα, εἰς τὸ μέσον αὐτοῦ, διάφραγμά τε ἴσχον, ἐναπολαμβάνεται· καὶ μυρία δὴ νοσήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἱδρῶτος ἀπείργασται. πολλάκις δ᾽

ἐν τῷ σώματι διακριθείσης σαρκὸς, πνεῦμα ἐγγενόμενον, καὶ ἀδυνατοῦν ἔξω πορευθῆναι, τὰς αὐτὰς τοῖς ἐπεισεληλυθόσιν ὀδύνας παρέσχε. μεγίστας δὲ, ὅταν περὶ τὰ νεῦρα καὶ τὰ ταύτῃ φλέβια περιϊστὰν καὶ ἀνοιδῆσαν, τούς τε ἐπιτόνους καὶ τὰ ξυνεχῆ νεῦρα οὕτως εἰς τὸ ἐξόπισθεν κατατείνῃ τούτοις. ἃ δὴ καὶ ἀπ᾽ αὐτοῦ τῆς ξυντονίας τοῦ παθήματος, τὰ νοσήματα τέτανοί τε καὶ ὀπισθότονοι προσεῤῥήθησαν. ὧν καὶ τὸ φάρμακον χαλεπόν. πυρετοὶ γὰρ οὖν δὴ τὰ τοιαῦτα γιγνόμενοι μάλιστα λύουσι. τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν ἀποληφθὲν, ἔξω δὲ τοῦ σώματος ἀναπνοὰς ἴσχον, ἠπιώτερον μὲν, καταποικίλλει δὲ τὸ σῶμα, λεύκας, ἀλφούς τε καὶ τὰ τούτων ξυγγενῆ νοσήματα ἀποτίκτον. μετὰ χολῆς δὲ μελαίνης κερασθὲν, ἐπὶ τὰς περιόδους τε τὰς ἐν τῇ κεφαλῇ, θειοτάτας οὔσας, ἐπισκεδαννύμενον, καὶ ξυνταράττον αὐτὰς, καθ᾽ ὕπνον μὲν ἰὸν, πραΰτερον· ἐγρηγορόσι δὲ ἐπιτιθέμενον, δυσαπαλλακτότερον. νόσημα δὲ ἱερᾶς ὂν φύσεως, ἐνδικώτατα ἱερὸν λέγεται. φλέγμα δὲ ὀξὺ καὶ ἁλμυρὸν, πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταῤῥοϊκά. διὰ δὲ τοὺς τόπους εἰς οὓς ῥεῖ παντοδαποὺς ὄντας, παντοῖα νοσήματα εἴληφεν. ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος, ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι, διὰ χολὴν γέγονε πάντα. λαμβάνουσα μὲν οὖν ἀναπνοὴν, ἔξω παντοῖ᾽ ἀναπέμπει φυσήματα ζέουσα· καθειργνυμένη δ᾽ ἐντὸς, πυρίκαυτα νοσήματα πολλὰ ἐμποιεῖ. μέγιστον δὲ, ὅταν αἵματι καθαρῷ συγκερασθεῖσα, τὸ τῶν ἰνῶν γένος ἐκ τῆς

ἑαυτῶν διαφορῇ τάξεως· αἳ διεσπάρησαν εἰς αἷμα, ἵνα συμμέτρως λεπτότητος ἴσχοι καὶ πάχους, καὶ μήτε διὰ θερμότητα, ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ πυκνότερον, δυσκίνητον ὂν, μόλις ἀντιστρέφοιτο ἐν ταῖς φλεψί. καιρὸν δὴ τούτων ἶνες τῇ τῆς φύσεως γενέσει φυλάττουσιν· ἃς ὅταν τὶς καὶ τεθνεότος αἵματος, ἐν ψύχει τε ὄντος, πρὸς ἀλλήλας ξυναγάγοι, διαχεῖται πᾶν τὸ λοιπὸν αἷμα· ἐαθεῖσαι δὲ, ταχὺ μετὰ τοῦ περιεστῶτος αὐτὸ ψύχους ξυμπηγνύασι. ταύτην δὲ τὴν δύναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι, χολὴ φύσει παλαιὸν αἷμα γεγονυῖα, καὶ πάλιν ἐκ τῶν σαρκῶν ἐς τοῦτο τετηκυῖα, θερμὴ καὶ ὑγρὰ κατ' ὀλίγον τοπρῶτον ἐμπίπτουσα, πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν· πηγνυμένη δὲ, καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλείων δ' ἐπιῤῥέουσα, τῇ παρ' αὐτῆς θερμότητι κρατήσασα τὰς ἶνας, εἰς ἀταξίαν ζέσασα, διέσωσε· καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται, πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα γένος, καίουσα ἔλυσε τὰ τῆς ψυχῆς αὐτόθεν, οἷον νεὼς, πείσματα, μεθῆκέ τε ἐλευθέραν· ὅταν δ' ἐλάττων ᾖ, τό, τε σῶμα ἀντίσχῃ τηκόμενον, αὐτὴ κρατηθεῖσα, ἢ κατὰ πᾶν τὸ σῶμα ἐξέπεσεν, ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα ἢ τὴν ἄνω κοιλίαν, οἷον φυγὰς ἐκ πόλεως στασιασάσης, ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ δυσεντεριας, καὶ τὰ τοιαῦτα νοσήματα πάντα παρέσχετο. τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα, ξυνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται· τὸ δ' ἐξ ἀέρος, ἀμφημερινούς· τριταίους δ'

ὕδατος, διὰ τὸ νωθέστερον ἀέρος καὶ πυρὸς αὐτὸ εἶναι. τὸ δὲ γῆς, τετάρτως ὂν νωθέστατον τούτων, ἐν τετραπλασίαις περιόδοις χρόνου καθαιρόμενον, τεταρταίους πυρετοὺς ποιῆσαν, ἀπαλλάττεται μόλις. Καὶ τὰ μὲν περὶ τὸ σῶμα νοσήματα ταύτῃ ξυμβαίνει γιγνόμενα. τὰ δὲ περὶ ψυχήν, διὰ σώματος ἕξιν, τῇδε. νόσον μὲν δὴ ψυχῆς, ἄνοιαν συγχωρητέον. δύο δ᾽ ἀνοίας γένη· τὸ μὲν, μανίαν· τὸ δ᾽ ἀμαθίαν. πᾶν οὖν ὅ, τι πάσχων τὶς πάθος, ὁπότερον αὐτῶν ἴσχει, νόσον προσρητέον. ἡδονὰς δὲ καὶ λύπας ὑπερβαλλούσας, τῶν νόσων μεγίστας θετέον τῇ ψυχῇ. περιχαρὴς γὰρ ἄνθρωπος ὤν, ἢ καὶ τἀναντία ὑπὸ λύπης πάσχων, σπεύδων τὸ μὲν ἑλεῖν ἀκαίρως, τὸ δὲ φυγεῖν, οὔτε ὁρᾷν οὔτε ἀκούειν ὀρθὸν οὐδὲν δύναται, λυττᾷ δέ, καὶ λογισμοῦ μετασχεῖν ἥκιστα τότε δὴ δυνατός. τὸ δὲ σπέρμα ὅτῳ πολὺ καὶ ῥυῶδες περὶ τὸν μυελὸν γίγνεται, καὶ καθαπερεὶ δένδρον πολυκαρπότερον τοῦ ξυμμέτρου πεφυκὸς ᾖ, πολλὰς μὲν καθ᾽ ἕκαστον ὠδῖνας, πολλὰς δ᾽ ἡδονὰς κτώμενος ἐν ταῖς ἐπιθυμίαις καὶ τοῖς περὶ τὰ τοιαῦτα τόκοις, ἐμμανὴς τὸ πλεῖστον γιγνόμενος τοῦ βίου, διὰ τὰς μεγίστας ἡδονὰς καὶ λύπας νοσοῦσαν καὶ ἄφρονα ἴσχων ὑπὸ τοῦ σώματος τὴν ψυχήν, οὐχ ὡς νοσῶν, ἀλλ᾽ ὡς ἑκὼν κακός, κακῶς δοξάζεται. τὸ δὲ ἀληθές, ἡ περὶ τὰ ἀφροδίσια ἀκολασία, κατὰ τὸ πολὺ μέρος, διὰ τὴν ἑνὸς γένους ἕξιν, ὑπὸ μανότητος ὀστῶν ἐν σώματι ῥυώδη καὶ ὑγραίνουσαν, νόσος ψυχῆς γέγονε. καὶ σχεδὸν δὴ πάντα ὁπόσα ἡδονῶν ἀκρατία καὶ ὄνειδος, ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς

ὀνειδίζεται. κακὸς μὲν γὰρ ἑκὼν οὐδείς· διὰ δὲ πονηρὰν ἕξιν τινὰ τοῦ σώματος καὶ ἀπαίδευτον τροφὴν, ὁ κακὸς γίνεται κακός. παντὶ δὲ ταῦτα ἐχθρὰ, καὶ κακόν τι προσγίγνεται. καὶ πάλιν δὴ τὸ περὶ τὰς λύπας ἡ ψυχὴ κατὰ ταῦτα διὰ σῶμα πολλὴν ἴσχει κακίαν. ὅπου γὰρ ἂν οἱ τῶν ὀξέων καὶ τῶν ἁλυκῶν φλεγμάτων καὶ ὅσοι πικροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες, ἔξω μὲν μὴ λάβωσιν ἀναπνοὴν, ἐντὸς δὲ εἱλούμενοι, τὴν ἀφ᾽ αὑτῶν ἀτμίδα τῇ τῆς ψυχῆς φορᾷ συμμίξαντες ἀνακερασθῶσι, παντοδαπὰ νοσήματα ψυχῆς ἐμποιοῦσι, μᾶλλον καὶ ἧττον, καὶ ἐλάττω καὶ πλείω. πρός τε τοὺς τρεῖς τόπους ἐνεχθέντα τῆς ψυχῆς, πρὸς ὃν ἂν ἕκαστον αὐτῶν προσπίπτῃ, ποικίλλη μὲν εἴδη δυσκολίας καὶ δυσθυμίας παντοδαπὰ, ποικίλλη δὲ θρασύτητός τε καὶ δειλίας· ἔτι δὲ λήθης ἅμα καὶ δυσμαθίας. πρὸς δὲ τούτοις, ὅταν οὕτω κακῶς παγέντων, πολιτεῖαι κακαὶ καὶ λόγοι κατὰ πόλεις ἰδίᾳ καὶ δημοσίᾳ λεχθῶσιν, ἔτι δὲ μαθήματα μηδαμῇ τούτων ἰατρικὰ ἐκ νέων μανθάνηται, ταύτῃ κακοὶ πάντες οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα. ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεὶ, τῶν φυτευομένων μᾶλλον, καὶ τοὺς τρέφοντας, τῶν τρεφομένων· προθυμητέον μὴν, ὅπῃ τὶς δύναται, καὶ διὰ τροφῆς καὶ δι᾽ ἐπιτηδευμάτων, μαθημάτων τε, φυγεῖν μὲν κακίαν, τοὐναντίον δὲ ἑλεῖν. ταῦτα μὲν οὖν δὴ τρόπος ἄλλος λόγων. Τὸ δὲ τούτων ἀντίστροφον αὖ, τὸ περὶ τὰς τῶν σωμάτων καὶ διανοήσεων θεραπείας, αἷς αἰτίαις σώζεται, πάλιν εἰκὸς καὶ πρέπον ἀνταποδοῦναι. δικαιότερον

γὰρ τῶν ἀγαθῶν πέρι μᾶλλον ἢ τῶν κακῶν ἴσχειν λόγον. πᾶν δὴ τὸ ἀγαθὸν, καλόν. τὸ δὲ καλὸν, οὐκ ἄμετρον· καὶ ζῶον οὖν τὸ τοιοῦτον ἐσόμενον, ξύμμετρον θετέον. ξυμμέτρων δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα καὶ μέγιστα, ἀλογίστως ἔχομεν. πρὸς γὰρ ὑγιείας τε καὶ νόσους, ἀρετάς τε καὶ κακίας, οὐδεμία ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό. ὧν οὐδὲν σκοποῦμεν, οὐδ᾽ ἐννοοῦμεν ὅτι ψυχὴν ἰσχυρὰν καὶ πάντη μεγάλην ἀσθενέστερον ἢ ἔλαττον εἶδος ὅταν ὀχῇ, καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον τούτω, οὐ καλὸν ὅλον τὸ ζῶον. ἀξύμμετρον γὰρ ταῖς μεγίσταις ξυμμετρίαις. τὸ δ᾽ ἐναντίως ἔχον, πάντων θεαμάτων, τῷ δυναμένῳ καθορᾶν, κάλλιστον καὶ ἐρασμιώτατον. οἷον οὖν ὑπερσκελὲς, ἢ καί τινα ἑτέραν ὑπὲρ ἕξιν ἄμετρον ἑαυτῷ τι σῶμα ὂν, ἅμα μὲν αἰσχρὸν, ἅμα δ᾽ ἐν τῇ κοινωνίᾳ τῶν πόνων πολλοὺς μὲν κόπους, πολλὰ δὲ σπάσματα καὶ διὰ τὴν παραφορότητα πτώματα παρέχον, μυρίων κακῶν αἴτιον ἑαυτῷ. ταὐτὸ δὴ διανοητέον καὶ περὶ τοῦ ξυναμφοτέρου, ζῶον ὃ καλοῦμεν· ὡς ὅταν τε ἐν αὐτῷ ψυχὴ κρείττων οὖσα σώματος περιθύμως ἴσχῃ, διασείουσα πᾶν αὐτὸ ἔνδοθεν, νόσων ἐμπίπλησι, καὶ ὅταν εἴς τινας μαθήσεις καὶ ζητήσεις συντόνως ἴῃ, κατατήκει· διδαχάς τ᾽ αὖ καὶ μάχας ἐν λόγοις ποιουμένη δημοσίᾳ καὶ ἰδίᾳ δι᾽ ἐρίδων καὶ φιλονεικιῶν γιγνομένων, διάπυρον αὐτὸ ποιοῦσα λύει· καὶ ῥεύματα ἐπάγουσα, τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους, τἀναντία αἰτιᾶσθαι ποιεῖ. σῶμά τε ὅταν

αὖ μέγα καὶ ὑπέρψυχρον, σμικρᾷ ξυμφυὲς ἀσθενεῖ τε διανοίᾳ γένηται, διττῶν ἐπιθυμιῶν οὐσῶν φύσει κατ' ἀνθρώπους, διὰ σῶμα μὲν, τροφῆς, διὰ δὲ τὸ θειότατον τῶν ἐν ἡμῖν, φρονήσεως, αἱ τοῦ κρείττονος κινήσεις κρατοῦσαι, καὶ τὸ μὲν σφέτερον αὔξουσαι, τὸ δὲ τῆς ψυχῆς, κωφὸν καὶ δυσμαθὲς ἀμνῆμόν τε ποιοῦσαι, τὴν μεγίστην νόσον ἀμαθίαν ἐναπεργάζονται. μία δὲ σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος κινεῖν, μήτε σῶμα ἄνευ ψυχῆς· ἵνα ἀμυνομένω γίγνωνται ἰσοῤῥόπω καὶ ὑγιᾶ. τὸν δὴ μαθηματικὸν ἤ τινα ἄλλην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον, καὶ τὴν τοῦ σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα· τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα, τὰς τῆς ψυχῆς ἀποδοτέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον· εἰ μέλλοι δικαίως τὶς ἅμα μὲν καλὸς, ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλῆσθαι. κατὰ δὲ τὰ αὐτὰ ταῦτα καὶ τὰ μέρη θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων καομένου τε ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου, καὶ τὰ τούτοις ἀκόλουθα πάσχοντος ὑπ' ἀμφοτέρων τῶν κινήσεων, ὅταν μέν τις ἡσυχίαν ἄγον τὸ σῶμα παραδιδῷ ταῖς κινήσεσι, κρατηθὲν διώλετο· ἐὰν δὲ ἣν τροφὸν καὶ τιθήνην τοῦ παντὸς προσείπομεν, μιμῆταί τις, καὶ τὸ σῶμα μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ, κινῇ δὲ, καὶ σεισμούς τινας ἀεὶ ἐμποιῶν αὐτῷ διαπαντὸς, τὰς ἐντὸς καὶ ἐκτὸς ἀμύνηται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων, τά τε περὶ τὸ

σῶμα πλανώμενα παθήματα καὶ μέρη, κατὰ ξυγγενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον, ὃν περὶ τοῦ παντὸς ἐλέγομεν, οὐκ ἐχθρὸν παρ' ἐχθρὸν τιθέμενον, ἐάσει πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον παρὰ φίλον τεθὲν, ὑγίειαν ἀπεργαζόμενον παρέξει. τῶν δ' αὖ κινήσεων ἡ ἐν αὐτῷ ὑφ' ἑαυτοῦ ἀρίστη κίνησις (μάλιστα γὰρ τῇ διανοητικῇ τοῦπαντὸς κινήσει ξυγγενὴς) ἡ δὲ ὑπ' ἄλλου, χείρων. χειρίστη δὲ, ἡ κειμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν, δι' ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ ξυστάσεων σώματος, ἡ μὲν διὰ τῶν γυμνασίων, ἀρίστη· δευτέρα δὲ, ἡ διὰ τῶν αἰωρήσεων, κατά τε τοὺς πλοῦς, καὶ ὅπη περ ἂν ὀχήσεις ἄκοποι γίγνωνται. τρίτον δὲ εἶδος κινήσεως, σφόδρα ποτὲ ἀναγκαζομένῳ χρήσιμον, ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. τὰ γὰρ νοσήματα ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ ἐρεθιστέον φαρμακείαις. πᾶσα γὰρ ξύστασις νόσων τρόπον τινὰ τῇ τῶν ζώων φύσει προσέοικε. καὶ γὰρ ἡ τούτων ξύνοδος ἔχουσα τεταγμένους τοῦ βίου γίγνεται χρόνους, τοῦ τε γένους ξύμπαντος, καὶ καθ' αὑτὸ τὸ ζῶον εἱμαρμένον ἔχον ἕκαστον τὸν βίον φύεται, χωρὶς τῶν ἐξ ἀνάγκης παθημάτων. τὰ γὰρ τρίγωνα εὐθὺς κατ' ἀρχὰς ἑκάστων δύναμιν ἔχοντα ξυνίσταται μέχρι τινὸς χρόνου δυνατὰ ἐξαρκεῖν· οὗ βίον οὐκ ἄν ποτέ τις εἰς τὸ πέραν ἔτι βιῴη. τρόπος οὖν αὐτὸς καὶ τῆς περὶ τὰ νοσήματα ξυστάσεως ἦν; ὃ ὅταν τὶς παρὰ τὴν εἱμαρ-

μένην τοῦ χρόνου φθείρῃ φαρμακείαις, ἅμα ἐκ μικρῶν μεγάλα καὶ πολλὰ ἐξ ὀλίγων νοσήματα φιλεῖ γίγνεσθαι. διὸ παιδαγωγεῖν δεῖ διαίταις πάντα τὰ τοιαῦτα, καθ᾽ ὅσον ἂν ᾖ τῳ σχολή, ἀλλ᾽ οὐ φαρμακεύοντας κακὸν δύσκολον ἐρεθιστέον. καὶ περὶ μὲν τοῦ κοινοῦ ζώου καὶ τοῦ κατὰ σῶμα αὐτοῦ μέρους, ᾗ τις ἂν καὶ διαπαιδαγωγῶν καὶ διαπαιδαγωγούμενος ὑφ᾽ αὑτοῦ, μάλιστ᾽ ἂν κατὰ λόγον ζῴη, ταῦτα λελέχθω. τὸ δὲ δὴ παιδαγωγῆσον αὐτὸ, μᾶλλόν που καὶ πρότερον παρασκευαστέον εἰς δύναμιν ὅτι κάλλιστον καὶ ἄριστον εἰς τὴν παιδαγωγίαν εἶναι. δι᾽ ἀκριβείας μὲν οὖν περὶ τούτων διελθεῖν, ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ᾽ αὑτὸ μόνον ἔργον· τὸ δ᾽ ἐν παρέργῳ κατὰ τὰ πρόσθεν ἑπόμενος ἄν τις, οὐκ ἄπο τρόπου τῇδε σκοπῶν, ὧδε τῷ λόγῳ διαπεράναιτ᾽ ἄν, καθάπερ εἴπομεν πολλάκις, ὅτι τρία ψυχῆς τριχῇ ἐν ἡμῖν εἴδη κατῴκισται. τυγχάνει δ᾽ ἕκαστον κινήσεις ἔχον. οὕτω κατὰ ταῦτα καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον, ὅτι τὸ μὲν αὐτῶν, ἐν ἀργίᾳ διάγον, καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον, ἀσθενέστατον ἀνάγκη γίγνεσθαι· τὸ δ᾽ ἐν γυμνασίοις, ἐῤῥωμενέστατον. διὸ φυλακτέον ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρως. τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου παρ᾽ ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε τοῦτο, ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ᾽ ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ συγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν, ὡς ὄντας φυτὸν οὐκ ἔγγειον, ἀλλ᾽ οὐράνιον· ὀρθότατα λέγοντες. ἐκεῖθεν γὰρ ὅθεν ἡ πρώτη τῆς ψυχῆς γέ-

νεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν, ὀρθοῖ πᾶν τὸ σῶμα. τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετηκότι, καὶ ταῦτα διαπονοῦντι σφόδρα, πάντα τὰ δόγματα ἀνάγκη θνητὰ ἐγγεγονέναι, καὶ παντάπασι καθ' ὅσον μάλιστα δυνατὸν θνητῷ γίγνεσθαι, τούτου μηδὲ σμικρὸν ἐλλιπεῖν, ἅτε τὸ τοιοῦτον ηὐξηκότι· τῷ δὲ περὶ φιλομάθειαν καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι, καὶ ταῦτα μάλιστα τῶν αὐτοῦ γεγυμνασμένῳ, φρονεῖν μὲν ἀθάνατα καὶ θεῖα, ἄν περ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη που· καθ' ὅσον δ' αὖ μετασχεῖν ἀνθρωπίνη φύσις ἀθανασίας ἐνδέχεται, τούτου μηδ' ἂν μέρος ἀπολιπεῖν. ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον, ἔχοντά τε αὐτὸν εὖ μάλα κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν αὑτῷ, διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ δὴ πάντη παντὸς μία, τὰς οἰκείας ἑκάστῳ τροφὰς καὶ κινήσεις ἀποδιδόναι· τῷ δ' ἐν ἡμῖν θείῳ ξυγγενεῖς εἰσι κινήσεις, αἱ τοῦ παντὸς διανοήσεις καὶ περιφοραί. ταύταις δὴ ξυνεπόμενον ἕκαστον δεῖ, τὰς περὶ τὴν γένεσιν ἐν τῇ κεφαλῇ διεφθαρμένας ἡμῶν περιόδους ἐξορθοῦντα, διὰ τὸ καταμανθάνειν τὰς τοῦ παντὸς ἁρμονίας τε καὶ περιφορὰς, τῷ κατανοουμένῳ τὸ κατανοοῦν ἐξομοιῶσαι κατὰ τὴν ἀρχαίαν φύσιν· ὁμοιώσαντα δὲ, τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν ἀρίστου βίου, πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον. Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέντα διεξελθεῖν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης, σχεδὸν ἔοικε τέλος ἔχειν·

τὰ γὰρ ἄλλα ζῶα ᾗ γέγονεν αὖ, διὰ βραχέων ἐπιμνηστέον, ὃ μή τις ἀνάγκη μηκύνειν. οὕτω γὰρ εὐμετρότερός τις αὑτῷ δόξειεν περὶ τοὺς τούτων λόγους εἶναι. τῇδ᾽ αὖ τὸ τοιοῦτον ἔστω λεγόμενον. τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ, καὶ τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν εἰκότα γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. καὶ κατ᾽ ἐκεῖνον δὴ τὸν χρόνον διὰ ταῦτα θεοὶ τὸν τῆς ξυνουσίας ἔρωτα ἐτεκτήναντο, ζῶον, τὸ μὲν ἐν ἡμῖν, τὸ δ᾽ ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον. τοιῷδε δὲ τρόπῳ ποιήσαντες ἑκάτερον· τὴν τοῦ ποτοῦ διέξοδον, ᾗ διὰ τοῦ πνεύμονος τὸ πόμα ὑπὸ τοὺς νεφροὺς εἰς τὴν κύστιν ἐλθὸν, καὶ τῷ πνεύματι τὸ θλιφθὲν ξυνεκπέμπει, δεχόμενοι, ξυνέτρησαν εἰς τὸν ἐκ τῆς κεφαλῆς κατὰ τὸν αὐχένα καὶ διὰ τῆς ῥάχεως μυελὸν ξυμπεπηγότα· ὃν δὴ σπέρμα ἐν τοῖς πρόσθεν λόγοις εἴπομεν. ὁ δὲ, ἅτ᾽ ἔμψυχος ὢν, καὶ λαβὼν ἀναπνοὴν τοῦθ᾽ ᾗπερ ἀνέπνευσε, τῆς ἐκροῆς ζωτικὴν ἐπιθυμίαν ἐμποιήσας αὐτῷ, τοῦ γεννᾷν ἔρωτα ἀπετέλεσε. διὸ δὴ τῶν μὲν ἀνδρῶν τὸ περὶ τὴν τῶν αἰδοίων φύσιν, ἀπειθές τε καὶ αὐτοκρατὲς γεγονὸς, οἷον ζῶον ἀνυπήκοον τοῦ λόγου, πάντων δι᾽ ἐπιθυμίας οἰστρώδεις ἐπιχειρεῖ κρατεῖν. αἱ δ᾽ ἐν ταῖς γυναιξὶν αὖ μῆτραί τε καὶ ὑστέραι λεγόμεναι, διὰ ταὐτὰ ταῦτα ζῶον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδοποιΐας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει· καὶ πλανώμενον πάντη κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν, εἰς ἀπορίας τε ἄλλας τὰς

ἐσχάτας ἐμβάλλει, καὶ νόσους παντοδαπὰς ἄλλας παρέχεται, μέχρι περ ἂν ἑκατέρων ἡ ἐπιθυμία καὶ ὁ ἔρως ἐξαγαγόντες οἷον ἀπὸ δένδρου καρπὸν, κᾆτα δρέψαντες ὡς εἰς ἄρουραν τὴν μήτραν, ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῶα κατασπείραντες, καὶ πάλιν διακρίναντες, μεγάλα ἐντὸς ἐκθρέψωνται· καὶ μετὰ ταῦτα εἰς φῶς ἀγαγόντες, ζώων ἀποτελέσωσι γένεσιν. γυναῖκες μὲν οὖν καὶ θῆλυ πᾶν οὕτω γέγονε. τὸ δὲ τῶν ὀρνέων φῦλον μετεῤῥυθμίζετο, ἀντὶ τριχῶν πτερὰ φύον, ἐκ τῶν ἀκάκων ἀνδρῶν, κούφων δέ· καὶ μετεωρολογικῶν μὲν, ἡγουμένων δὲ δι᾽ ὄψεως τὰς περὶ τούτων ἀποδείξεις βεβαιοτάτας εἶναι, δι᾽ εὐήθειαν. τὸ δ᾽ αὖ πεζὸν καὶ θηριῶδες γέγονεν ἐκ τῶν μηδὲν προσχρωμένων φιλοσοφίᾳ, μηδὲ ἀθρούντων τῶν περὶ τὸν οὐρανὸν πέρι μηδέν· διὰ τὸ μηκέτι ταῖς ἐν τῇ κεφαλῇ χρῆσθαι περιόδοις, ἀλλὰ τοῖς περὶ τὰ στήθη ψυχῆς ἡγεμόσιν ἕπεσθαι μέρεσιν. ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων, τά τε πρόσθια κῶλα καὶ τὰς κεφαλὰς εἰς γῆν ἑλκόμενα, ὑπὸ ξυγγενείας, ἤρεισαν· προμήκεις τε καὶ παντοίας ἔσχον τὰς κορυφὰς, ὅπη συνεθλίφθησαν ὑπὸ ἀργίας ἑκάστων αἱ περιφοραί. τετράπουν τε τὸ γένος αὐτῶν ἐκ ταύτης ἐφύετο καὶ πολύπουν τῆς προφάσεως· θεοῦ βάσεις ὑποτιθέντος πλείους τοῖς μᾶλλον ἄφροσιν, ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. τοῖς δ᾽ ἀφρονεστάτοις αὐτῶν τούτων, καὶ παντάπασι πρὸς γῆν πᾶν τὸ σῶμα κατατεινομένοις, ὡς οὐδὲν ἔτι ποδῶν χρείας οὔσης, ἄποδα αὐτὰ καὶ ἰλυσπώμενα ἐπὶ γῆς ἐγέννησαν. τὸ δὲ τέταρτον γένος ἔνυδρον γέγο-

νεν, ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθεστάτων. οὓς οὐδ᾽ ἀναπνοῆς καθαρᾶς ἔτι ἠξίωσαν οἱ μεταπλάττοντες, ὡς τὴν ψυχὴν ὑπὸ πλημμελείας πάσης ἀκαθάρτως ἐχόντων, ἀλλ᾽ ἀντὶ λεπτῆς καὶ καθαρᾶς ἀναπνοῆς ἀέρος, εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀνάπνευσιν. ὅθεν ἰχθύων γένος καὶ τὸ τῶν ὀστρέων, ξυναπάντων τε ὅσα ἔνυδρα γέγονε, δίκην ἀμαθίας ἐσχάτης, ἐσχάτας οἰκήσεις εἰληχότων. καὶ κατὰ ταῦτα δὴ πάντα τότε καὶ νῦν διαμείβεται τὰ ζῶα εἰς ἄλληλα, νοῦ καὶ ἀνοίας ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα. Καὶ δὴ καὶ τέλος περὶ τοῦ παντὸς νῦν ἤδη τὸν λόγον φῶμεν ἡμῖν ἔχειν. θνητὰ γὰρ καὶ ἀθάνατα ζῶα λαβὼν, καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος, οὕτω ζῶον ὁρατὸν, τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ νοητοῦ θεοῦ, αἰσθητὸς, μέγιστος καὶ ἄριστος, κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν.

ΤΙΜΑΙΩ ΤΩ ΛΟΚΡΩ
ΠΕΡΙ ΨΥΧΑΣ ΚΟΣΜΩ
ΚΑΙ ΦΥΣΙΟΣ.

Τιμαιος ὁ Λοκρὸς τάδε ἔφα· δύο αἰτίας εἶμεν τῶν συμπάντων· νόον μὲν, τῶν κατὰ λόγον γιγνομένων· ἀνάγκαν δὲ, τῶν βίᾳ καττὰς δυνάμεις τῶν σωμάτων. τουτέων δὲ, τὸν μὲν, τᾶς τἀγαθῶ φύσιος εἶμεν, θεόν τε ὀνυμαίνεσθαι, ἀρχάν τε τῶν ἀρίστων· τὰ δ' ἑπόμενά τε καὶ συναίτια, εἰς ἀνάγκαν ἀνάγεσθαι. τὰ δὲ ξύμπαντα, ἰδέαν, ὕλαν, αἰσθητόν τε, οἷον ἔκγονον τουτέων. καὶ τὸ μὲν, εἶμεν ἀγένατόν τε καὶ ἀκίνατον, καὶ μένον τε, καὶ τᾶς ταὐτῶ φύσιος, νοατόν τε καὶ παράδειγμα τῶν γεννωμένων, ὁκόσα ἐν μεταβολᾷ ἐντί. τοιοῦτον γάρ τι τὰν ἰδέαν λέγεσθαί τε καὶ νοεῖσθαι. τὰν δ' ὕλαν, ἐκμαγεῖον καὶ ματέρα, τιθάναν τε καὶ γεννατικὰν εἶμεν τᾶς τρίτας οὐσίας. δεξαμέναν γὰρ τὰ ὁμοιώματα εἰς ἑαυτὰν, καὶ οἷον ἀναμαξαμέναν, ἀποτελεῖν πάντα τὰ γεννάματα. ταύταν δὲ τὰν ὕλαν ἀΐδιον μὲν ἔφα, οὐ μὰν

ἀκίνατον· ἄμορφον δὲ καθ᾽ αὑτὰν καὶ ἀσχημάτιστον, δεχομέναν δὲ πᾶσαν μορφάν. τὰν δὲ περὶ τὰ σώματα, μεριστὰν εἶμεν, καὶ τᾶς θατέρω φύσιος. ποταγορεύοντι δὲ τὰν ὕλαν, τόπον καὶ χώραν. δύο ὦν αἵδε ἀρχαὶ ἐναντίαι. ἂν τὸ μὲν εἶδος λόγον ἔχει ἄῤῥενός τε καὶ πατρός· ἃ δ᾽ ὕλα, θήλεός τε καὶ ματέρος. τρίτα δὲ εἶναι, τὰ ἐκ τούτων ἔκγονα. τρία δὲ ὄντα, τρισὶ γνωρίζεσθαι· τὰν μὲν ἰδέαν, νόῳ κατ᾽ ἐπιστάμαν· τὰν δ᾽ ὕλαν, λογισμῷ νόθῳ· τῷ μήπω κατ᾽ εὐθυωρίαν νοεῖσθαι, ἀλλὰ κατ᾽ ἀναλογίαν. τὰ δ᾽ ἀπογεννάματα, αἰσθήσει καὶ δόξᾳ. πρὶν ὦν ὠρανὸν γενέσθαι, λόγῳ ἤστην ἰδέα τε καὶ ὕλα, καὶ ὁ θεὸς δαμιουργὸς τῶ βελτίονος. ἐπεὶ δὲ τὸ πρεσβύτερον κάῤῥον ἐστὶ τῶ νεωτέρω, καὶ τὸ τεταγμένον πρὸ τῶ ἀτάκτω, ἀγαθὸς ὢν ὁ θεὸς, ὁρῶν τε τὰν ὕλαν δεχομέναν τὰν ἰδέαν καὶ ἀλλοιουμέναν, παντοίως μὲν, ἀτάκτως δὲ, ἐδεῖτ᾽ εἰς τάξιν αὐτὰν ἄγεν, καὶ ἐξ ἀορίστων μεταβολᾶν, εἰς ὡρισμέναν καταστᾶσαι· ἵν᾽ ὁμόλογοι ταὶ διακρίσιες τῶν σωμάτων γίγνοιντο, καὶ μὴ κατ᾽ αὐτόματον τροπὰς δέχοιντο. ἐποίησεν ὦν τόνδε τὸν κόσμον ἐξ ἁπάσας τᾶς ὕλας, ὅρον αὐτὸν κατασκευάξας τᾶς τῶ ὄντος φύσιος, διὰ τὸ πάντα τἆλλα ἐν αὐτῷ περιέχεν, ἕνα, μονογενῆ, τέλειον, ἔμψυχόν τε καὶ λογικόν· (κρέσσονα γὰρ τάδε ἀψύχω καὶ ἀλόγω ἐστόν) καὶ σφαιροειδὲς σῶμα· τελειότερον γὰρ τῶν ἄλλων σχημάτων ἦν τοῦτο. δηλούμενος ὦν ἄριστον γένναμα ποιεῖν, τοῦτον ἐποίει θεὸν γεννατὸν, οὔποκα φθαρησόμενον ὑπ᾽ ἄλλω αἰτίω, ἔξω τῶ αὐτὸν συντεταγμέ-

νω θεῶ, εἴποκα δήλετο αὐτὸν διαλύεν. ἀλλ᾽ οὐ γὰρ τἀγαθῶ ἐστιν ὁρμᾶν ἐπὶ φθορὰν γεννάματος καλλίστω. διαμένει ἄρα, τοιόσδε ὤν, ἄφθαρτος καὶ ἀνώλεθρος καὶ μακάριος. κράτιστος δ᾽ ἐστὶ γεννατῶν, ἐπεὶ ὑπὸ τῶ κρατίστω αἰτίω ἐγένετο, ἀφορῶντος οὐκ εἰς χειρόκματα παραδείγματα, ἀλλ᾽ εἰς τὰν ἰδέαν καὶ ἐς τὰν νοατὰν οὐσίαν· πόθ᾽ ἄνπερ τὸ γεννώμενον ἀπακριβωθὲν, κάλλιστόν τε καὶ ἀπαρεγχείρητον γίγνεται. τέλειος δ᾽ ἀεὶ κατὰ τὰ αἰσθητά ἐστιν, ὅτι καὶ τὸ παράδειγμα τῆνο αὐτοῦ περιέχον πάντα τὰ νοατὰ ζῶα ἐν αὐτῷ, οὐδὲν ἐκτὸς ἀπέλιπεν ἄλλο, ὅρος ὂν νοατῶν παντελὴς, ὡς ὅδε ὁ κόσμος αἰσθητῶν. στερεὸς δὲ ὢν, ἁπτός τε καὶ ὁρατὸς, γᾶς μεμόρακται, πυρός τε καὶ τῶν μεταξὺ ἀέρος καὶ ὕδατος. ἐκ παντελέων δὲ συνέστακε σωμάτων, τάπερ ὅλα ἐν αὐτῷ ἐντὶ, ὡς μὴ ποκα μέρος ἀπολειφθῆμεν ἐκτὸς αὐτῶ· ἵνα ᾖ αὐταρκέστατον τὸ τῶ παντὸς σῶμα, ἀκήρατον τῶν ἐκτὸς κηρῶν. οὐ γὰρ ἦν δίχα τουτέων ἄλλα, καὶ τῶν ἐντός. τὰ γὰρ καττὰν ἀρίσταν ἀναλογίαν συντεθέντα ἐν ἰσοδυναμίᾳ, οὔτε κρατεῖ ἀλλήλων ἐκ μέρεος, οὔτε κρατέεται· ὡς τὰ μὲν, αὔξαν, τὰ δὲ φθίσιν λαμβάνεν· μένει δ᾽ ἐν συναρμογᾷ ἀδιαλύτῳ κατὰ λόγον ἄριστον. τριῶν γὰρ ὡντινωνοῦν ὅρων ὅταν καὶ τὰ διαστάματα καττὸν αὐτὸν ἐστάθη λόγον ποτ᾽ ἄλλαλα, τότε δὴ τὸ μέσον ῥυσμῶ δίκαν ὁρήμεθα ποττὸ πρᾶτον ὅ, τι περ τὸ τρίτον ποττ᾽ αὐτό· κᾆν πάλιν καὶ παραλλὰξ κατ᾽ ἐφάρμοσιν τόπων καὶ τάξιος. ταῦτα δ᾽ ἀριθμήμεναι μὴ μετ᾽ ἰσοκρατείας, ἀμάχανον παντί· εὖ δ᾽ ἔχει καὶ καττὸ σχῆμα

καὶ καττὰν κίνασιν. καθ' ὃ μὲν σφαῖρα ὂν, ὡς ὅμοιον αὐτὸ αὑτῷ, πάντα εἶμεν, καὶ πάντα τἄλλα ὁμογενέα σχήματα χωρεῖν δύνασθαι· καθὰν δὲ ἐγκύκλιον μεταβολὰν ἀποδιδὸν δι' αἰῶνος. μόνα δὲ ἁ σφαῖρα ἐδύνατο καὶ ἀρεμέουσα καὶ κινουμένα ἐν τᾷ αὐτᾷ συναρμόσεν χώρᾳ, ὡς μή ποκα ἀπολιπεῖν, μήτε λαμβάνεν ἄλλον τόπον, τῷ ἐκ μέσου ἴσον εἶμεν πάντα. λειότατον δ' ὂν ποτ' ἀκρίβειαν καττὰν ἐκτὸς ἐπιφάνειαν, οὐ ποτιδέεται θνατῶν ὀργάνων, ἃ διὰ τὰς χρείας τοῖς ἄλλοις ζώοις ποτάρτηταί τε καὶ διῆκται. τὰν δὲ τῶ κόσμω ψυχὰν μεσόθεν ἐξάψας ἐπάγαγεν ἔξω, περικαλύψας αὐτὸ ὅλον αὐτᾷ, κρᾶμα αὐτὰν κερασάμενος ἔκ τε τᾶς ἀμερίστω μορφᾶς καὶ τᾶς μεριστᾶς οὐσίας· ὡς ἓν κρᾶμα ἐκ δύο τουτέων εἶμεν· ᾧ ποτέμιξε δύο δυνάμεις, ἀρχὰς κινασίων, τᾶς τε ταὐτῶ καὶ τᾶς τῶ ἑτέρω. ἃ καὶ δύσμικτος ἔασσα, οὐκ ἐκ τῶ ῥᾴστω συνεκίρνατο. λόγοι δ' οἵδε πάντες ἐντὶ κατ' ἀριθμὼς ἁρμονικῶς συγκεκραμένοι· ὃς λόγως κατὰ μοῖραν διαιρήκει ποττ' ἐπιστάμαν, ὡς μὴ ἀγνοεῖν ἐξ ὧν ἁ ψυχὰ καὶ δι' ὧν συνεστάκει. ἂν οὐχ ὑστέραν τᾶς σωματικᾶς οὐσίας συνετάξατο ὁ θεὸς, ὥσπερ λέγομες ἄμμες, (πρότερον γὰρ τὸ τιμιώτερον καὶ δυνάμει καὶ χρόνῳ) ἀλλὰ πρεσβυτέραν ἐποίει, μίαν ἀφαιρέων τὰν πρώταν νομάδων οὖσαν τεττύρων, ποτὶ ὀκτὼ δεκάσι καὶ τρισὶν ἑκατοντάσι. ταύτας δὲ τάν τε διπλασίαν καὶ τριπλασίαν ῥᾴον συλλογίξασθαι, ἑσταμένω τῶ πράτω. δεῖ δ' εἶμέν πως πάντας σὺν τοῖς πληρώμασι καὶ τοῖς ἐπογδόοις ὅρους ϛ' καὶ λ'. τὸν δὲ σύμπαντα ἀριθμὸν γενέσθαι

μυριάδας ιά, καὶ τεττόρων χιλιάδων ἑξακοσιων ϛέ. ταὶ δὲ διαιρέσιες αὗται ἐντὶ, μυριάδες ιά δ χ ϛέ. τὰν μὲν οὖν τῶ ὅλω ψυχὰν ταῦτά πως διεῖλε.' Θεὸν δὲ, τὸν μὲν αἰώνιον νόος ὁρῆ μόνος τῶν ἁπάντων ἀρχαγὸν καὶ γενέτορα τουτέων· τὸν δὲ γεννατὸν ὄψει ὁρέομες, κόσμον τε τόνδε καὶ τὰ μέρεα αὐτῶ ὁκόσα ὠράνια ἐντί. τάπερ αἰθέρια ὄντα, διαιρετὰ δίχα· ὡς τὰ μὲν, τᾶς ταὐτῶ φύσιος εἶμεν· τὰ δὲ, τῶ ἑτέρω. ὧν τὰ μὲν, ἔξωθεν ἄγει πάντα ἐν αὐτοῖς τὰ ἐντὸς, ἀπ' ἀνατολᾶς ἐπὶ δύσιν τὰν καθ' ἅπαν κίνασιν· τὰ δὲ τᾶς τῶ ἑτέρω, ἐντὸς ἀπὸ ἑσπέρας, τὰ ποθ' ἕω μὲν ἐπαναφερόμενά τε καὶ καθ' αὑτὰ κινεόμενα. συμπεριδινέεται δὲ κατὰ συμβεβηκὸς τᾷ ταὐτῶ φορᾷ, κράτος ἐχοίσᾳ ἐν κόσμω κάῤῥον. ἁ δὲ τῶ ἑτέρω φορὰ, μεμερισμένα καθ' ἁρμονικὼς λόγως, ἐς ἑπτὰ κύκλως συντέτακται. ἁ μὲν ὦν σελάνα ποτιγειοτάτα ἔασσα ἔμμηνον τὰν περίοδον ἀποδίδωτι· ὁ δ' ἅλιος μετὰ ταύταν ἐνιαυσιαίῳ χρόνῳ τὸν αὑτῶ κύκλον ἐκτελεῖ. δύο δ' ἰσόδρομοι ἀελίῳ ἐντὶ, Ἑρμᾶ τε καὶ Ἥρας· τὸν, Ἀφροδίτας καὶ φωσφόρον τοὶ πολλοὶ καλέοντι. νομῆς γὰρ καὶ πᾶς ὅμιλος οὐ σοφὸς τὰ περὶ τὰν ἱερὰν ἀστρονομίαν ἐντὶ, οὐδ' ἐπιστάμων ἀνατολᾶν τᾶν ἑσπερίων καὶ ἑῴων. ὁ γὰρ αὐτὸς, πόκα μὲν ἕσπερος γίγνεται, ἑπόμενος τῷ ἁλίῳ τοσοῦτον ὁκόσον μὴ ὑπὸ τᾶς αὐγᾶς αὐτῶ ἀφανισθῆμεν· πόκα δὲ, ἑῷος, αἴκα προαγέηται τῶ ἁλίω, καὶ προανατέλλῃ ποτ' ὄρθρον. φωσφόρος ὦν πολλάκις μὲν γίγνεται ὁ τᾶς Ἀφροδίτας, διὰ τὸ ὁμοδρομεῖν ἁλίῳ.

οὐχ εἷς δὲ, ἀλλὰ πολλοὶ μὲν τῶν ἀπλανέων, πολλ
δὲ τῶν πλαζομένων. πᾶς δὲ ἐν μεγέθει ἀστὴρ ὑπὲ
τὸν ὁρίζοντα πρὸ ἁλίου προγενόμενος, ἁμέραν ἀγ
γέλλει. τοὶ δ' ἄλλοι τρεῖς, Ἄρεός τε καὶ Διὸς κα
Κρόνου, ἔχοντι ἴδια τάχεα καὶ ἐνιαυτὼς ἀνίσως· ἐκ
τελέοντι δὲ τὸν δρόμον, περὶ καταλάψιας ποιεύμενο
φάσιάς τε, καὶ κρύψιας, καὶ ἐκλείψιας, γεννῶντες ἀ
τρεκέας τε ἀνατολὰς καὶ δύσιας· ἔτι δὲ φάσιας φα
νερὰς ἑῴας ἢ ἑσπερίας ἐκτελέοντι ποτὶ τὸν ἅλιον, ὃ
ἁμέραν ἀποδίδωτι τὸν ἀπ' ἀνατολᾶς ἐπὶ δύσιν αὐτ
δρόμον· νύκτα δὲ, τὰν ἀπὸ δύσιος ἐπ' ἀνατολὰ
κίνασιν κατ' ἄλλο ποιέεται, ἀγόμενος ὑπὸ τᾶς ταὐτ
φορᾶς· ἐνιαυτὸν δὲ, καττὰν αὐτῶ καθ' ἑαυτὸν κι
νασιν. ἐκ δὲ τουτέων τῶν κινασίων, δύο ἐασσᾶν, τὰ
ἕλικα ἐκτυλίσσει, ποθέρπων μὲν κατὰ μίαν μοῖρα
ἐν ἁμερησίῳ χρόνῳ, περιδινεύμενος δὲ ὑπὸ τᾶς τῶ
ἀπλανέων σφαίρας, καθ' ἑκάσταν περίοδον, ὄρφν
καὶ ἁμέρας. χρόνω δὲ τὰ μέρεα, τάσδε τὰς περιόδ
λέγοντι, ἃς ἐκόσμησεν ὁ θεὸς σὺν κόσμῳ. οὐ γὰρ
πρὸ κόσμω ἄστρα· διόπερ οὐδ' ἐνιαυτός· οὐδ'
ρᾶν περίοδοι, αἷς μετρέεται ὁ γεννατὸς κόσμος
τος. εἰκὼν δέ ἐστι τῶ ἀγεννάτω χρόνω, ὃν α
ποταγορεύομες. ὡς γὰρ ποτ' ἀΐδιον παράδειγμ
ἰδανικὸν κόσμον ὅδε ὠρανὸς ἐγεννάθη, οὕτ
πρὸς παράδειγμα τὸν αἰῶνα ὅδε χρόνος σὺν
ἐδαμιουργήθη. Γᾶ δ' ἐν μέσῳ ἱδρυμένα, ἑστία
ὅρος τε ὄρφνας καὶ ἁμέρας γίνεται· δύσιάς
ἀνατολὰς γεννῶσα κατ' ἀποτομὰς τῶν ὁριζόν
τα ὄψει καὶ τᾷ ἀποτομᾷ τᾶς γᾶς περιγρ

πρεσβύστα δ' ἐντὶ τῶν ἐντὸς ὠρανῶ σωμάτων. οὐδέποκα ὕδωρ ἐγεννάθη δίχα γᾶς, οὐδὲ μάντοι ἀὴρ, χωρὶς ὑγρῶ. πῦρ τε ἔρημον ὑγρῶ καὶ ὕλας ἇς ἐξάπτοι, οὐκ ἂν διαμένοι. ὥστε ῥίζα πάντων καὶ βάσις ἁ γᾶ ἐρήρεισται ἐπὶ τᾶς αὐτᾶς ῥοπᾶς. ἀρχαὶ μὲν ὦν τῶν γεννωμένων, ὡς μὲν ὑποκείμενον, ἁ ὕλα· ὡς δὲ λόγος μορφᾶς, τὸ εἶδος. ἀπογεννάματα δὲ τουτέων ἐςὶ τὰ σώματα, γᾶ τε καὶ ὕδωρ, ἀήρ τε καὶ πῦρ. ὧν ἁ γένεσις, τοιαύτα. ἅπαν σῶμα ἐξ ἐπιπέδων ἐστί· τοῦτο δὲ ἐκ τριγώνων, ὧν τὸ μὲν ὀρθογώνιον ἰσοσκελὲς ἡμιτετράγωνον, τὸ δὲ, ἀνισόπλευρον, ἔχον τὰν μέζονα δυνάμει τριπλασίαν τᾶς ἐλάσσονος. ἁ δ' ἐλαχίστα ἐν αὐτῷ γωνία, τρίτον ὀρθῆς ἐστι· διπλασία δὲ ταύτας, ἁ μέσα. δύο γὰρ τρίτων ἄδ' ἐστίν. ἁ δὲ μεγίστα ὀρθὰ, ἁμιόλιος μὲν τᾶς μέσας ἔασσα, τριπλασία δὲ τᾶς ἐλαχίστας. τοῦτο δ' ὦν τὸ τρίγωνον, ἁμιτρίγωνόν ἐστιν, ἰσοπλεύρῳ τριγώνῳ, δίχα τετμημένω καθέτω, ἀπὸ τᾶς κορυφᾶς ἐς τὰν βάσιν, ἐς ἴσα μέρεα. δύο ὀρθογώνια μὲν ὦν ἐντὶ ἑκατερῳ· ἀλλὰ ἐν ᾧ μὲν, ταὶ δύο πλευραὶ ταὶ περὶ τὰν ὀρθὰν, μόναι ἴσαι· ἐν ᾧ δὲ, ταὶ τρεῖς πᾶσαι ἄνισοι. σκολιὸν δὲ τοῦτο μὲν καλεέσθω· κεῖνο δὲ ἁμιτετράγωνον, ἀρχὰ συστάσιος γᾶς. τὸ γὰρ τετράγωνον ἐκ τουτέων, ἐκ τεττόρων ἡμιτετραγώνων συντεθειμένον. ἐκ δὲ τῶ τετραγώνω γεννᾶσθαι τὸν κύβον, ἑδραιότατον καὶ ςαδαῖον πάντη σῶμα, ἓξ μὲν πλευρὰς, ὀκτὼ δὲ γωνίας ἔχον. καττοῦτο δὲ, βαρύτατόν τε καὶ δυσκίνατον ἁ γᾶ, ἀμετάβλητόν τε σῶμα εἰς ἄλλα, διὰ τὸ ἀκοινώνευτον εἶμεν τῶ ἄλλω γένεος τῶ τριγώνω. μόνα

γὰρ ἁ γᾶ ἀΐδιον στοιχεῖον ἔχει τὸ ἁμιτετράγωνον. τοῦτο δὲ στοιχεῖον τῶν ἄλλων σωμάτων ἐστὶ, πυρὸς, ἀέρος, ὕδατος. ἑξάκις γὰρ συντεθέντος τῶ ἁμιτριγώνω, τρίγωνον ἐξ αὐτῶ ἰσόπλευρον γίνεται. ἐξ ὧ ἁ πυραμὶς, τέσσαρας βάσιας καὶ τὰς ἴσας γωνίας ἔχοισα, συντίθεται, εἶδος πυρὸς εὐκινατότατον καὶ λεπτομερέστατον. μετὰ δὲ τοῦτο, ὀκτάεδρον, ὀκτὼ μὲν βάσιας, ἓξ δὲ γωνίας ἔχον, ἀέρος στοιχεῖον. τρίτον δὲ, τὸ εἰκοσίεδρον, βασίων μὲν εἴκοσι, γωνιῶν δὲ δώδεκα, ὕδατος στοιχεῖον, πολυμερέστατον καὶ βαρύτατον. ταῦτα δ' ὦν ἀπὸ ταὐτῶ στοιχείω συγκείμενα εἰς ἄλλαλα τρέπεται. τὸ δὲ δωδεκάεδρον εἰκόνα τοῦ παντὸς ἐστάσατο, ἔγγιστα σφαῖρα ἐόν. πῦρ μὲν ὦν διὰ τὰν λεπτυμέρειαν διὰ πάντων ἥκεν, ἀὴρ τε διὰ τῶν ἄλλων, ἔξω πυρός· ὕδωρ δὲ, διὰ τᾶς γᾶς. ἅπαντα δ' ὦν πλήρη ἐντὶ, οὐδὲν κενεὸν ἀπολείποντα. συνάγεται δὲ τᾷ περιφορᾷ τοῦ παντὸς, καὶ ἠρεισμένα τρίβεται μὲν ἀμοιβαδὸν, ἀδιάλειπτον δὲ ἀλλοίωσιν ποτὶ γενέσιας καὶ φθορὰς ἀποδίδωτι. τούτοις δὲ ποτιχρεόμενος ὁ θεὸς τόνδε τὸν κόσμον κατεσκεύαξεν· ἁπτὸν μὲν, διὰ τὰν γᾶν· ὁρατὸν δὲ, διὰ τὸ πῦρ· ἅπερ δύο ἄκρα. δι' ἀέρος δὲ καὶ ὕδατος συνεδήσατο δεσμῷ κρατίστῳ, ἀναλογίᾳ, ἃ καὶ αὐτὰν καὶ τὰ δι' αὐτᾶς κρατεόμενα συνέχεν δύναται. εἰ μὲν ὦν ἐπίπεδον εἴη τὸ συνδεόμενον, μία μεσότας ἱκανά ἐστιν· εἰ δὲ κα στερεὸν, δύο χρῄζει. δυσὶν ὦν μέσοις δύο ἄκρα προσαρμόξατο, ὅκως εἴη ὡς πῦ[ρ] ποτ' ἀέρα, ἀὴρ ποτὶ ὕδωρ, καὶ ὕδωρ ποτὶ γᾶν· κ[αὶ] κατ' ἐναλλαγὰν, ὡς πῦρ ποτὶ ὕδωρ, ἀὴρ ποτὶ γᾶ[ν]

καὶ ἀνάπαλιν, ὡς γᾶ ποτὶ ὕδωρ, ὕδωρ ποτ' ἀέρα, καὶ ἀὴρ ποτὶ πῦρ· καὶ κατ' ἐναλλαγὰν, ὡς γᾶ ποτ' ἀέρα, ὕδωρ ποτὶ πῦρ. καὶ ἐπεὶ δυνάμει ἴσα ἐντὶ πάντα, τοὶ λόγοι αὐτῶν ἐν ἰσονομίᾳ ἐντί. εἷς μὲν ὧν ὅδε ὁ κόσμος δαιμονίῳ δεσμῷ τὸ ἀνάλογόν ἐστιν. ἕκαστον δὲ τῶν τεττόρων σωμάτων πολλὰ εἴδεα ἔχει. πῦρ μὲν, φλόγα, καὶ φῶς, καὶ αὔγαν, διὰ τὰν ἀνισότητα τῶν ἐν ἑκάστῳ αὐτῶν τριγώνων. κατ' αὐτά τε καὶ ἀὴρ, τὸ μὲν, καθαρὸν καὶ αὖον, τὸ δὲ, νοτερὸν καὶ ὁμιχλῶδες. ὕδωρ τὲ, τὸ μὲν, ῥυτὸν, τὸ δὲ πακτόν· ὁκόσον χιών τε καὶ πάχνα, χάλαζά τε καὶ κρύσταλλος. ὑγρόν τε, τὸ μὲν ῥυτὸν, ὡς μέλι, ἔλαιον· τὸ δὲ, πακτὸν, ὡς πίσσα, κηρός. πακτῶ δὲ εἴδεα, τὸ μὲν, χυτόν· χρυσὸς, ἄργυρος, χαλκὸς, κασσίτερος, μόλιβδος, σταγών· τὸ δὲ, θραυστόν· θεῖον, ἄσφαλτον, νίτρον, ἅλες, στυπτηρία, λίθοι τοὶ ὁμογενέες. Μετὰ δὲ τὰν τῶ κόσμω σύστασιν, ζώων θνατῶν γέννασιν ἐμαχανάσατο, ἵν' ᾖ τέλεος, ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. τὰν μὲν ὦν ἀνθρωπίναν ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυναμίων συγκερασάμενος καὶ μερίξας, διένειμε τᾷ φύσει τᾷ ἀλλοιωτικᾷ παραδούς· διαδεξαμένα δ' αὐτὸν ἐν τῷ ἀπεργάζεν θνατάτε καὶ ἐφαμέρια ζῶα, ὧν τὰς ψυχὰς ἐπιῤῥύτως ἐνάγαγε, τὰς μὲν, ἀπὸ σελάνας, τὰς δ', ἀπὸ ἁλίω· τὰς δὲ, ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τᾷ τῶ ἑτέρω μοίρᾳ· ἔξω μιᾶς τᾶς τῶ αὐτῶ δυνάμιος, ἂν ἐν τῷ λογικῷ μέρει ἔμιξεν, εἰκόνα σοφίας τοῖς εὐμοιρατοῦσι. τᾶς μὲν γὰρ ἀνθρωπίνας ψυχᾶς τὸ μὲν, λογικόν ἐστι καὶ νοερὸν, τὸ δ', ἄλογον καὶ

ἄφρον. τῶ δὲ λογικῶ τὸ μὲν κρέσσον, ἐκ τᾶς ταὐτῶ φύσιος· τὸ δὲ χέρειον, ἐκ τᾶς τῶ ἑτέρω. ἑκάτερον δὲ περὶ τὰν κεφαλὰν ἵδρυται μόνον, ὡς τἄλλα μέρεα τᾶς ψυχᾶς καὶ τῶ σώματος ὑπηρετεῖν τούτῳ, καθάπερ ὑπ᾽ αὐτῶ τῶ σκάνεος ἅπαντος. τῶ δ᾽ ἀλόγω μέρεος τὸ μὲν θυμοειδὲς, περὶ τὰν καρδίαν· τὸ δ᾽ ἐπιθυματικὸν, περὶ τὸ ἧπαρ. τοῦ δὲ σώματος, ἀρχὰν μὲν καὶ ῥίζαν μυελῶ εἶμεν ἐγκέφαλον, ἐν ᾧ ἁ ἁγεμονία· ἀπὸ δὲ τούτω, ἀπόχυμα ῥεῖ διὰ τῶν νωτίων σπονδύλων τὸ λοιπὸν, ἐξ ὧ εἰς σπέρμα καὶ γόνον μερίζεσθαι. ὀστέα δὲ, μυελῶν περιφράγματα, τουτέων δὲ σκέπαν μὲν τὰν σάρκα καὶ προκάλυμμα. συνδέσμοις δὲ ποττὰν κίνησιν τοῖς νεύροις σύναψε τὰ ἄρθρα. τῶν δ᾽ ἐντοσθίων τὰ μὲν, τροφᾶς χάριν, τὰ δὲ, σωτηρίας. Κινασίων δὲ, τῶν ἀπὸ τῶν ἐκτὸς, τὰς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα τόπον, αἰσθήσιας εἶμεν· τὰς δ᾽ ὑπ᾽ ἀντίλαψιν μὴ πιπτοίσας, ἀνεπαισθήτως, ἢ τῷ τὰ πάσχοντα σώματα γεωδέστερα εἶμεν, ἢ τῷ τὰς κινάσιας ἀμενηνοτέρας γίγνεσθαι. ὁκόσαι μὲν ὦν ἐξιστᾶντι τὰν φύσιν, ἀλγειναὶ ἐντί· ὁκόσαι δὲ ἀποκαθιστᾶντι ἐς αὐτὰν, ἁδοναὶ ὀνυμαίνονται. τᾶν δ᾽ αἰσθησίων τὰν μὲν ὄψιν ἄμμιν τὸν θεὸν ἀνάψαι εἰς θέαν τῶν ὠρανίων, καὶ ἐπιστάμας ἀνάλαψιν· τὰν δ᾽ ἀκοὰν, λόγων καὶ μελῶν ἀντιλαπτικὰν ἔφυσεν· ἇς στερισκόμενος ἐκ γενέσιος ὁ ἄνθρωπος οὔτε λόγον ἔτι προέσθαι δυνάσεται. διὸ καὶ συγγενεστάταν τῷ λόγῳ ταύταν αἴσθασιν φαντὶ εἶμεν. ὁκόσα δὲ πάθεα τῶν σωμάτων ὀνυμαίνεται, ποτὶ τὰν ἁφὰν κληΐζεται, τᾷ δὲ ῥοπᾷ ποτὶ τὰν χώ-

ραν. ἁ μὲν γὰρ ἁφὰ κρίνει τὰς ζωτικὰς δυνάμιας, θερμότατα, ψυχρότατα· ξηρότατα, ὑγρότατα· λειότατα, τραχύτατα· εἴκοντα, ἀντίτυπα· μαλακὰ, σκληρά. βαρὺ δὲ καὶ κοῦφον ἁφὰ μὲν προκρίνει, λόγος δ᾽ ὁρίζει, τᾷ εἰς τὸ μέσον καὶ ἀπὸ τῶ μέσω νεύσει. κάτω δὲ καὶ μέσον, ταὐτὸν φαντί. τὸ γὰρ κέντρον τᾶς σφαίρας, τοῦτό ἐστι τὸ κάτω· τὸ δ᾽ ὑπὲρ τούτω, ἄχρι τᾶς περιφερείας, ἄνω. τὸ μὲν ὦν θερμὸν, λεπτομερές τε καὶ διαστατικὸν τῶν σωμάτων δοκεῖ εἶμεν· τὸ δὲ ψυχρὸν, παχυμερέστερον πόρων καὶ συμπιλωτικόν ἐστι. τὰ δὲ περὶ τὰν γεῦσιν ἔοικε τᾷ ἁφᾷ. συγκρίσει γὰρ καὶ διακρίσει, ἔτι δὲ τᾷ ἐς τὼς πόρως διαδύσει, καὶ τοῖς σχημάτεσσιν, ἢ στρυφνὰ, ἢ λεῖα. ἀποτάκοντα δὲ καὶ ῥύπτοντα τὰν γλῶτταν, στρυφνὰ φαίνεται· μετριάζοντα δὲ τᾷ ῥύψει, ἁλμυρά· ἐκπυροῦντα δὲ, καὶ διαῤῥέοντα τὰν σάρκα, δριμέα. τὰ δ᾽ ἐναντία, λεῖά τε καὶ γλυκέα, κεχύλωται. Ὀσμᾶς δὲ εἴδεα μὲν οὐ κεχώρισται. διὰ γὰρ στενῶν πόρων διηθεῖται, στεῤῥοτέρων ὄντων ἢ ὡς συνάγεσθαι καὶ διΐστασθαι, σάψεσι καὶ πέψεσι γᾶς τε καὶ γεοειδέων, εὐώδεά τε καὶ δυσώδεα εἶμεν. Φωνὰ δ᾽ ἐστὶ μὲν πλᾶξις ἐν ἀέρι, διϊκνουμένα ποτὶ τὰν ψυχὰν δι᾽ ὤτων, ὧν τοὶ πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες. ἐν τούτοις πνεῦμα, οὗ ἁ κίνασις ἀκοά ἐστι. φωνᾶς δὴ καὶ ἀκοᾶς, ἁ μὲν, ταχεῖα, ὀξεῖα, ἁ δὲ βραδεῖα· μέσα δ᾽ ἁ συμμετροτάτα. καὶ ἁ μὲν πολλὰ καὶ κεχυμένα, μεγάλα· ἁ δὲ ὀλίγα καὶ συναγμένα, μικρά. ἁ δὲ τεταγμένα ποτὶ λόγως μωσικὼς, ἐμμελής· ἁ δὲ ἄτακτός τε καὶ ἄλογος, ἐκμελής τε καὶ

ἀνάρμοστος. Τέταρτόν τι γένος αἰσθητῶν, πολυειδέστατον καὶ ποικιλώτατον. ὁρατὰ δὲ λέγεται· ἐν ᾧ χρώματά τε παντοῖα, καὶ κεχρωσμένα μυρία. πρᾶτα δὲ, τέττορα· λευκὸν, μέλαν, λαμπρὸν, φοινικοῦν. τἆλλα γὰρ ἐκ κιρναμένων τούτων γεννᾶται. τὸ μὲν ὦν λευκὸν διακρίνει τὰν ὄψιν. τὸ δὲ μέλαν συγκρίνει· ὅκως περ τὸ θερμὸν διαχεῖ τὰν ἁφὰν, τὸ δὲ ψυχρὸν συνάγεν δύναται· καὶ τὸ μὲν στρυφνὸν, συνάγεν τὰν γεῦσιν, τὸ δὲ δριμὺ, διαιρεῖν πέφυκε. τρέφεται δὲ τὸ σκᾶνος τῶν ἐναερίων ζώων καὶ συνέχεται, τᾶς μὲν τροφᾶς διαδιδομένας διὰ τῶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον, κατ' ἐπιῤῥοάν· οἷον δι' ὀχετῶν ἀγομένας καὶ ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχεῖ αὐτὰν ἐπὶ τὰ πέρατα φέρον. Ἁ δ' ἀναπνοὰ γίνεται, μηδενὸς μὲν κενεῶ ἐν τᾷ φύσει ἐόντος, ἐπιῤῥέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος ἄντι τῶ ἀποῤῥέοντος διὰ τῶν ἀοράτων στομίων, δι' ὧν καὶ ἁ νοτὶς ἐπιφαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος ἀπαναλουμένω. ἀνάγκα ὦν ἀντικαταχθῆμεν τὸ ἴσον τῷ ἀναλωθέντι· εἰ δὲ μὴ, κενώσιας εἶμεν. ὅπερ ἀμάχανον. οὐδὲ γὰρ ἔτι εἴη κασσύῤῥοον καὶ ἓν τὸ ζῶον, διαιρουμένω τῶ σκάνεος ὑπὸ τῶ κενῶ. ἃ δ' ὁμοία ὀργανοποιΐα γίνεται καὶ ἐπὶ τῶν ἀψύχων, καττὰν τᾶς ἀναπνοᾶς ἀναλογίαν. ἁ γὰρ σικύα καὶ τὸ ἤλεκτρον, εἰκόνες ἀναπνοᾶς ἐντί. ῥεῖ γὰρ διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα, ἀντεπεισάγεται δὲ διὰ τᾶς ἀναπνοᾶς τῷ τε στόματι καὶ ταῖς ῥισίν· εἶτα πάλιν, οἷον εὔριπος, ἀντεπιφέρεται εἰς τὸ σῶμα, τὸ δὲ ἀνατείνεται καττὰς ἐκροάς. ἁ δὲ σικύα,

ναλωθέντος ἀπὸ τῶ πυρὸς τῶ ἀέρος, ἐφέλκεται τὸ ὑγρόν· τὸ δ' ἤλεκτρον, ἐκκριθέντος τῶ πνεύματος, ἀναλαμβάνει τὸ ὅμοιον σῶμα. Τροφὰ δὲ πᾶσα, ἀπὸ ῥίζας μὲν τᾶς καρδίας, παγᾶς δὲ τᾶς κοιλίας, ἐπάγεται τῷ σώματι· ὃ καὶ εἴκα πλείω τᾶς ἀποῤῥεοίσας ἐπάρδοιτο, αὖξα λέγεται· εἴκα δὲ μείω, φθίσις. ἁ δ' ἀκμὰ, μεθόριον τουτέων ἐστὶ, καὶ ἐν ἰσότατι ἀποῤῥοᾶς καὶ ἐπιῤῥοᾶς νοέεται. λυομένων δὲ τῶν ἁρμῶν τᾶς συστάσιος, αἴκα μηκέτι δίοδος ᾖ πνεύματι, ἢ τροφὰ μὴ διαδίδοται, θνάσκει τὸ ζῶον. πολλαὶ δὲ κᾶρες ζωᾶς καὶ θανάτου αἰτίαι. ἓν δὲ γένος νόσος ὀνυμαίνεται. νόσων δ' ἀρχαὶ μὲν, αἱ τᾶν πράτων δυναμίων ἀσυμμετρίαι, εἴκα πλεονάζοιεν ἢ ἐλλείποιεν ταὶ ἁπλαῖ δυνάμιες, θερμότας, ἢ ψυχρότας, ἢ ὑγρότας, ἢ ξηρότας. μετὰ δὲ ταύτας, αἱ τῶ αἵματος τροπαὶ καὶ ἀλλοιώσιες, ἐκ διαφθορᾶς, καὶ αἱ τᾶς σαρκὸς τακομένας κακώσιες· αἴκα καττὰς μεταβολὰς, ἐπὶ τὸ ὀξὺ ἢ ἁλμυρὸν ἢ δριμὺ τροπαὶ αἵματος, ἢ σαρκὸς τακεδόνες γένοιντο. χολᾶς γὰρ αἱ γενέσιες καὶ φλέγματος, ἐνθένδε. χυμοὶ νοσώδεες, καὶ ὑγρῶν σάψιες, ἀμαυραὶ μὲν, αἱ μὴ ἐν βάθει· χαλεπαὶ δ' ὧν ἀρχαὶ γεννῶνται ἐξ ὀστέων· ἀνιαραὶ δὲ, ἐκ μυελοῦ ἐξαπτόμεναι. τελευταία δὲ νόσων ἐντὶ, πνεῦμα, χολὰ, φλέγμα, αὐξόμενα, καὶ ῥέοντα εἰς χώρας ἀλλοτρίας, ἢ τόπως ἐπικαιρίως. τόκα γὰρ ἀντικαταλαμβάνοντα τὰν τῶν καῤῥόνων χώραν, καὶ ἀπελάσαντα τὰ συγγενέα, ἱδρύεται κακοῦντα τὰ σώματα, καὶ ἐς αὐτὰ ταῦτα ἀναλύονται. καὶ σώματος μὲν πάθεα τάδε, καὶ ἐκ τῶνδε ψυχᾶς νόσοι ἐντὶ πολ-

ἀνάρμοστος. Τέταρτόν τι γένος αἰσθητῶν, πολυειδέστατον καὶ ποικιλώτατον. ὁρατὰ δὲ λέγεται· ἐν ᾧ χρώματά τε παντοῖα, καὶ κεχρωσμένα μυρία. πρᾶτα δὲ, τέττορα· λευκὸν, μέλαν, λαμπρὸν, φοινικοῦν. τἄλλα γὰρ ἐκ κιρναμένων τούτων γεννᾶται. τὸ μὲν ὦν λευκὸν διακρίνει τὰν ὄψιν. τὸ δὲ μέλαν συγκρίνει· ὅκως περ τὸ θερμὸν διαχεῖ τὰν ἁφὰν, τὸ δὲ ψυχρὸν συνάγεν δύναται· καὶ τὸ μὲν στρυφνὸν, συνάγεν τὰν γεῦσιν, τὸ δὲ δριμὺ, διαιρεῖν πέφυκε. τρέφεται δὲ τὸ σκᾶνος τῶν ἐναερίων ζώων καὶ συνέχεται, τᾶς μὲν τροφᾶς διαδιδομένας διὰ τῶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον, κατ᾽ ἐπιῤῥοάν· οἷον δι᾽ ὀχετῶν ἀγομένας καὶ ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχεῖ αὐτὰν ἐπὶ τὰ πέρατα φέρον. Ἁ δ᾽ ἀναπνοὰ γίνεται, μηδενὸς μὲν κενεῶ ἐν τᾷ φύσει ἐόντος, ἐπιῤῥέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος ἀντὶ τῶ ἀποῤῥέοντος διὰ τῶν ἀοράτων στομίων, δι᾽ ὧν καὶ ἁ νοτὶς ἐπιφαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος ἀπαναλουμένω. ἀνάγκα ὦν ἀντικαταχθῆμεν τὸ ἴσον τῷ ἀναλωθέντι· εἰ δὲ μὴ, κενώσιας εἶμεν. ὅπερ ἀμάχανον. οὐδὲ γὰρ ἔτι εἴη κασσύῤῥοον καὶ ἓν τὸ ζῶον, διαιρουμένω τῶ σκάνεος ὑπὸ τῶ κενῶ. ἃ δ᾽ ὁμοία ὀργανοποιΐα γίνεται καὶ ἐπὶ τῶν ἀψύχων, κατ- τὰν τᾶς ἀναπνοᾶς ἀναλογίαν. ἁ γὰρ σικύα καὶ τὸ ἤλεκτρον, εἰκόνες ἀναπνοᾶς ἐντί. ῥεῖ γὰρ διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα, ἀντεπεισάγεται δὲ διὰ τᾶς ἀναπνοᾶς τῷ τε στόματι καὶ ταῖς ῥισίν· εἶτα πάλιν, οἷον εὔριπος, ἀντεπιφέρεται εἰς τὸ σῶμα. τὸ δὲ ἀνατείνεται κατ τὰς ἐκροάς. ἁ δὲ σικύα, ἀπο-

ναλωθέντος ἀπὸ τῶ πυρὸς τῶ ἀέρος, ἐφέλκεται τὸ ὑγρόν· τὸ δ' ἤλεκτρον, ἐκκριθέντος τῶ πνεύματος, ἀναλαμβάνει τὸ ὅμοιον σῶμα. Τροφὰ δὲ πᾶσα, ἀπὸ ῥίζας μὲν τᾶς καρδίας, παγᾶς δὲ τᾶς κοιλίας, ἐπάγεται τῷ σώματι· ὃ καὶ εἴκα πλείω τᾶς ἀποῤῥεοίσας ἐπάρδοιτο, αὔξα λέγεται· εἴκα δὲ μείω, φθίσις. ἁ δ' ἀκμὰ, μεθόριον τουτέων ἐστὶ, καὶ ἐν ἰσότατι ἀποῤῥοᾶς καὶ ἐπιῤῥοᾶς νοέεται. λυομένων δὲ τῶν ἁρμῶν τᾶς συστάσιος, αἴκα μηκέτι δίοδος ᾖ πνεύματι, ἢ τροφὰ μὴ διαδίδοται, θνάσκει τὸ ζῶον. πολλαὶ δὲ κᾶρες ζωᾶς καὶ θανάτου αἰτίαι. ἓν δὲ γένος νόσος ὀνυμαίνεται. νόσων δ' ἀρχαὶ μὲν, αἱ τᾶν πράτων δυναμίων ἀσυμμετρίαι, εἴκα πλεονάζοιεν ἢ ἐλλείποιεν ταὶ ἁπλαῖ δυνάμιες, θερμότας, ἢ ψυχρότας, ἢ ὑγρότας, ἢ ξηρότας. μετὰ δὲ ταύτας, αἱ τῶ αἵματος τροπαὶ καὶ ἀλλοιώσιες, ἐκ διαφθορᾶς, καὶ αἱ τᾶς σαρκὸς τακομένας κακώσιες· αἴκα καττὰς μεταβολὰς, ἐπὶ τὸ ὀξὺ ἢ ἁλμυρὸν ἢ δριμὺ τροπαὶ αἵματος, ἢ σαρκὸς τακεδόνες γένοιντο. χολᾶς γὰρ αἱ γενέσιες καὶ φλέγματος, ἐνθένδε. χυμοὶ νοσώδεες, καὶ ὑγρῶν σάψιες, ἀμαυραὶ μὲν, αἱ μὴ ἐν βάθει· χαλεπαὶ δ' ὧν ἀρχαὶ γεννῶνται ἐξ ὀστέων· ἀνιαραὶ δὲ, ἐκ μυελοῦ ἐξαπτόμεναι. τελευταία δὲ νόσων ἐντὶ, πνεῦμα, χολὰ, φλέγμα, αὐξόμενα, καὶ ῥέοντα εἰς χώρας ἀλλοτρίας, ἢ τόπως ἐπικαιρίως. τόκα γὰρ ἀντικαταλαμβάνοντα τὰν τῶν καῤῥόνων χώραν, καὶ ἀπελάσαντα τὰ συγγενέα, ἱδρύεται κακοῦντα τὰ σώματα, καὶ ἐς αὐτὰ ταῦτα ἀναλύονται. καὶ σώματος μὲν πάθεα τάδε, καὶ ἐκ τῶνδε ψυχᾶς νόσοι ἐντὶ πολ-

λαί. ἄλλαι δ' ἄλλων δυναμίων ἐντί· αἰσθητικᾶς μὲν, δυσαισθησία· μναμονικᾶς δὲ, λάθα· ὁρμητικᾶς δὲ, ἀνορεξία, καὶ ἁ προπέτεια· παθητικᾶς δὲ, ἄγρια πάθεά τε καὶ λύσσαι οἰστρώδεες· λογικᾶς δὲ, ἀμαθία καὶ ἀφροσύνα. ἀρχαὶ δὲ κακίας, ἁδοναὶ καὶ λῦπαι, ἐπιθυμίαι τε καὶ φόβοι, ἐξαμμέναι μὲν ἐκ σώματος, ἀνακεκραμέναι δὲ τᾷ ψυχᾷ, καὶ ἐξαγγελλόμεναι ὀνόμασι ποικίλοις· ἔρωτες γὰρ καὶ πόθοι, ἵμεροί τε ἔκλυτοι, ὀργαί τε σύντονοι, καὶ θυμοὶ βαρεῖς, ἐπιθυμίαι τε ποικίλαι, καὶ ἁδοναὶ ἄμετροι ἐντί. ἁπλῶς δὲ, ἀτόπως ἔχειν ποτὶ τὰ πάθη, καὶ ἄρχεσθαι, πέρας ἀρετᾶς καὶ κακίας ἐστί. τὸ γὰρ πλεονάζειν ἐν ταύταις, ἢ κάῤῥονα αὐτᾶν εἶμεν, εὖ ἢ κακῶς ἄμμε διατίθησι. ποτὶ δὲ ταύτας τὰς ὁρμὰς μεγάλα μὲν συνεργεῖν δύνανται αἱ τῶν σωμάτων κράσιες, ὀξεῖαι ἢ θερμαὶ, ἢ ἄλλοτ' ἀλλοῖαι γιγνόμεναι, ἔς τε μελαγχολίας καὶ λαγνείας λαβροτάτας ἄγοισαι ἄμμε. καὶ ῥευματιζόμενα μέρεα δαξασμὼς ποιοῦντι καὶ μορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόντων· δι' ὧν δυσθυμίαι καὶ λῆθαι, παραφροσύναι τε καὶ πτοῖαι ἀπεργάζονται. ἱκανὰ δὲ τὰ ἔθεα, ἐν οἷς ἂν ἐντραφῶσι κατὰ πόλιν ἢ οἶκον, καὶ ἁ καθ' ἁμέραν δίαιτα, θρύπτουσα τὰν ψυχὰν, ἢ ῥωννῦσα ποτ' ἀλκάν. ταὶ γὰρ θυραυλίαι, καὶ ἁπλαῖ τροφαὶ, καὶ τὰ γυμνάσια, καὶ τὰ ἤθεα τῶν συνόντων, τὰ μέγιστα δύνανται ποτὶ ἀρετὰν καὶ ποτὶ κακίαν. καὶ ταῦτα μὲν αἴτια ἐκ τῶν γενετόρων καὶ στοιχείων ἐπάγεται μᾶλλον ἢ ἐξ ἁμέων, ὅτι μὴ ἀργεία ἐστὶν, ἀφισταμένων ἁμῶν τῶν ποθακόντων ἔρ-

γων. ποτὶ δὲ τὸ εὖ ἔχειν τὸ ζῶον, δεῖ τὸ σῶμα ἔχειν τὰς ὑπ' αὐτῷ ἀρετὰς, ὑγείαν τε καὶ εὐαισθησίαν, ἰσχύν τε καὶ κάλλος. ἀρχαὶ δὲ κάλλους, συμμετρία ποτί τ' αὐτὰ τὰ μέρεα καὶ ποτὶ τὰν ψυχάν. ἁ γὰρ φύσις οἷον ὄργανον ἁρμόξατο τὸ σκᾶνος, ὑπακοῦόν τε εἶμεν καὶ ἐναρμόνιον ταῖς τῶν βίων ὑποθέσεσι. δεῖ δὲ καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι ποτὶ τὰς ἀναλόγως ἀρετάς· ποτὶ μὲν σωφροσύναν, οἷον ποτὶ ὑγείαν τὸ σῶμα· ποτὶ δὲ φρόνασιν, οἷον ποτὶ εὐαισθησίαν· ποτὶ δὲ ἀνδρειότατα, οἷον ποτὶ ῥώμαν καὶ ἰσχύν· ποτὶ δὲ δικαιοσύναν, οἷον ποτὶ κάλλος τὸ σῶμα. τουτέων δὲ, ἀρχαὶ μὲν ἐκ φύσεως· μέσα δὲ καὶ περατὰ, ἐξ ἐπιμελείας· σώματός τε, διὰ γυμναστικᾶς καὶ ἰατρικᾶς· ψυχᾶς δὲ, διὰ παιδείας καὶ φιλοσοφίας. αὗται γὰρ ταὶ δυνάμιες τρέφοισαι καὶ τονοῖσαι καὶ τὰ σώματα καὶ τὰς ψυχὰς διὰ πόνων καὶ γυμνασίων, καὶ διαίτας καθαρότατος, ταὶ μὲν διὰ φαρμακειᾶν, ταὶ δὲ παιδευτικαὶ τᾶν ψυχᾶν, διὰ κολασίων καὶ ἐπιπλαξίων. ῥωννύουσι γὰρ, διὰ προτροπᾶν ἐγείροισαι τὰν ὁρμὰν, καὶ ἐκκελευόμεναι τὰ ποτίφορα ποττὰ ἔργα. ἀλειπτικὰ μὲν ὦν, καὶ ἁ ταύτᾳ συγγενεστάτα ἰατρικὰ, σώματα ταχθεῖσα θεραπεῦεν, ἐς τὰν κρατίσταν ἁρμονίαν ἄγοισα τὰς δυνάμιας, τό, τε αἷμα καθαρὸν καὶ τὸ πνεῦμα σύῤῥοον ἀπεργάζεται· ἵν' εἰ καί τι νοσῶδες ὑπογένοιτο, κράτος αὐτοῦ ἔχοιεν ἐῤῥωμέναι ταὶ δυνάμιες αἵματος καὶ πνεύματος. μωσικὰ δὲ, καὶ ἁ ταύτας ἁγεμὼν φιλοσοφία, ἐπὶ τᾷ τᾶς ψυχᾶς ἐπανορθώσει ταχθεῖσαι ὑπὸ θεῶν τε καὶ νόμων, ἐθίζοντι καὶ πείθοντι

τὰ δὲ καὶ ποταναγκάζοντι, τὸ μὲν ἄλογον τῷ λογικῷ πείθεσθαι· τῷ δ᾽ ἀλόγῳ θυμὸν μὲν πρᾷον εἶμεν, ἐπιθυμίαν δὲ ἐν ἀρεμήσει· ὡς μὴ δίχα λόγου κινέεσθαι, μηδὲ μὰν ἀτρεμίζειν τῶ νῶ ἐκκαλεομένω ἢ ποτὶ ἔργα ἢ ποτὶ ἀπολαύσιας. οὗτος γάρ ἐστιν ὅρος σωφροσύνας, εὐπείθειά τε καὶ καρτερία. καὶ σύνεσις, καὶ ἁ πρεσβύστα φιλοσοφία, ἀποκαθαράμεναι ψεύδεα, ἐνέθηκαν τὰν ἐπιστήμαν, ἀνακαλεσάμεναι τὸν νόον ἐκ μεγάλας τᾶς ἀγνοίας, χαλάσασαι ἐς ὄψιν τῶν θείων· τοῖς ἐνδιατρίβεν σὺν αὐταρκείᾳ τε ποτ᾽ ἀνθρώπεια καὶ συνεργίᾳ, ἐπὶ τὸν σύμμετρον βίῳ χρόνον, εὔδαιμόν ἐστιν. ὅτῳ μὲν ὁ δαίμων μοίρας τάσδ᾽ ἔλαχε, δι᾽ ἀλαθεστάταν δόξαν ἄγεται ἐπὶ τὸν εὐδαιμονέστατον βίον· εἰ δέ κά τις σκλαρὸς καὶ ἀπειθὴς, τούτῳ δ᾽ ἑπέσθω κόλασις ἅ τ᾽ ἐκ τῶν νόμων καὶ ἁ ἐκ τῶν λόγων σύντονα ἐπάγοισα δείματά τε ἐπουράνια καὶ τὰ καθ᾽ ᾅδεω, ὅτι κολάσιες ἀπαραίτητοι ἀπόκεινται δυσδαίμοσι νερτέροις· καὶ τἄλλα ὅσα ἐπαινέω τὸν Ἰωνικὸν ποιητὰν ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέως. ὡς γάρ τὰ σώματα νοσώδεσι πόκα ὑγιάζομες, εἴ κα μὴ εἴκῃ τοῖς ὑγιεινοτάτοις, οὕτω τὰς ψυχὰς ἀπείργομες ψευδέσι λόγοις, εἴ κα μὴ ἄγηται ἀλαθέσι. λέγοιντο δ᾽ ἀναγκαίως καὶ τιμωρίαι ξέναι, ὡς μετενδυομέναν τᾶν ψυχᾶν, τῶν μὲν δειλῶν, ἐς γυναικέα σκάνεα, ποθ᾽ ὕβριν ἐκδιδόμενα· τῶν δὲ μιαιφόνων, ἐς θηρίων σώματα, ποτὶ κόλασιν· λάγνων δ᾽ ἐς συῶν ἢ κάπρων μορφάς· κούφων δὲ καὶ μετεώρων, ἐς πτηνῶν ἀεροπόρων· ἀργῶν δὲ καὶ ἀπράκτων, ἀμαθῶν τε καὶ ἀνοήτων, ἐς τὰν τῶν ἐν

δρων ἰδέαν. ἅπαντα δὲ ταῦτα ἐν δευτέρᾳ περιόδῳ ἁ Νέμεσις συνδιέκρινε, σὺν δαίμοσι παλαμναίοις χθονίοις τε, τοῖς ἐπόπταις τῶν ἀνθρωπίνων· οἷς ὁ πάντων ἅγεμὼν θεὸς ἐπέτρεψε διοίκησιν κόσμω συμπεπληρωμένω ἐκ θεῶν τε καὶ ἀνθρώπων· τῶν τε ἄλλων ζώων, ὅσα δεδαμιούργηται ποτ' εἰκόνα τὰν ἀρίσταν εἴδεος ἀγενάτω καὶ αἰωνίω.

ΚΡΙΤΙΑΣ
Η
ΑΤΛΑΝΤΙΚΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΚΡΙΤΙΟΥ ΠΡΟΣΩΠΑ
ΤΙΜΑΙΟΣ, ΚΡΙΤΙΑΣ, ΣΩΚΡΑΤΗΣ, ΕΡΜΟΚΡΑΤΗΣ.

Ὡς ἄσμενος, ὦ Σώκρατες, οἷον ἐκ μακρᾶς ἀναπεπαυμένος ὁδοῦ, νῦν ὄντως ἐκ τῆς τοῦ λόγου διαπορείας ἀγαπητῶς ἀπήλλαγμαι. τῷ δὲ πρὶν μὲν πάλαι ποτ᾽ ἔργῳ, νῦν δὲ λόγοις ἄρτι θεῷ γεγονότι, προσ εὔχομαι, τῶν ῥηθέντων ὅσα μὲν ἐῤῥήθη μετρίως, σωτηρίαν ἡμῖν αὐτὸν αὐτῶν διδόναι· παρὰ μέλος δὲ εἴ τι περὶ αὐτῶν ἄκοντες εἴπομεν, δίκην τὴν πρέπουσαν ἐπιτιθέναι. δίκη δὲ ὀρθὴ, τὸν πλημμελοῦντα ἐμμελῆ ποιεῖν. ἵν᾽ οὖν τολοιπὸν τοὺς περὶ θεῶν γενέσεως ὀρθῶς λέγοιμεν λόγους, φάρμακον ἡμῖν αὐτὸν τελεώτατον καὶ ἄριστον φαρμάκων ἐπιστήμην εὐχόμεθα διδόναι. προσευξάμενοι δὲ παραδίδομεν, κατὰ

τὰς ὁμολογίας, Κριτίᾳ τὸν ἑξῆς λόγον. ΚΡΙ. Ἀλλ', ὦ Τίμαιε, δέχομαι μὲν ὧδε, ᾧ σὺ καταρχὰς ἐχρήσω, συγγνώμην αἰτούμενος ὡς περὶ μεγάλων μέλλων λέγειν, ταὐτὸν καὶ νῦν ἐγὼ τοῦτο παραιτοῦμαι· μειζόνως δὲ αὐτοῦ τυχεῖν ἔτι μᾶλλον ἀξιῶ περὶ τῶν μελλόντων ῥηθήσεσθαι. καίτοι σχεδὸν μὲν οἶδα παραίτησιν εὖ μάλα φιλότιμον καὶ τοῦ δέοντος ἀγροικοτέραν μέλλων παραιτεῖσθαι, ῥητέον δὲ ὅμως. ὡς μὲν γὰρ οὐκ εὖ τὰ παρὰ σοῦ λεχθέντα εἴρηται, τίς ἂν ἐπιχειρήσειεν ἔμφρων λέγειν; ὅτι δὲ τὰ ῥηθησόμενα πλείονος συγγνώμης δεῖται, χαλεπώτερα ὄντα, τοῦτο πειρατέον πη διδάξαι. περὶ θεῶν γάρ, ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους, δοκεῖν ἱκανῶς λέγειν, ῥᾷον ἢ περὶ θνητῶν ἢ πρὸς ὑμᾶς. ἡ γὰρ ἀπειρία καὶ σφοδρὰ ἄγνοια τῶν ἀκουόντων περὶ ὧν ἂν οὕτως ἔχωσι, πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλλοντι λέγειν τὶ περὶ αὐτῶν· περὶ δὲ δὴ θεῶν ἴσμεν ὡς ἔχομεν. ἵνα δὲ σαφέστερον ὃ λέγω δηλώσω, τῇδέ μοι συνεπισπέσθε. μίμησιν γὰρ δὴ καὶ ἀπεικασίαν τὰ παρὰ πάντων ἡμῶν ῥηθέντα χρεών που γενέσθαι. τὴν δὲ τῶν γραφέων εἰδωλοποιΐαν περὶ τὰ θεῖά τε καὶ ἀνθρώπινα σώματα γιγνομένην ἴδωμεν ῥᾳστώνης τε πέρι καὶ λεπτότητος, πρὸς τοῖς ὁρῶσι δοκεῖν ἀποχρώντως μὲν μιμεῖσθαι· καὶ κατοψόμεθα ὅτι γῆν μὲν καὶ ὄρη καὶ ποταμοὺς καὶ ὕλην, οὐρανόν τε ξύμπαντα, καὶ τὰ περὶ αὐτὸν ὄντα καὶ ἰόντα, πρῶτον μὲν ἀγαπῶμεν ἄν τισι καὶ βραχὺ πρὸς ὁμοιότητα αὐτῶν ἀπομιμεῖσθαι δυνατὸς ᾖ· πρὸς δὲ τούτοις, ἅτε οὐδὲν εἰδότες ἀκριβὲς περὶ τῶν τοιούτων, οὔτε

ἐξετάζομεν οὔτε ἐλέγχομεν τὰ γεγραμμένα, σκιαγραφίᾳ δὲ ἀσαφεῖ καὶ ἀπατηλῷ χρώμεθα περὶ αὐτά· τὰ δὲ ἡμέτερα ὁπόταν τὶς ἐπιχειρῇ σώματα ἀπεικάζειν, ὀξέως αἰσθανόμενοι τὸ παραλειπόμενον, διὰ τὴν ἀεὶ ξύνοικον κατανόησιν, χαλεποὶ κριταὶ γιγνόμεθα τῷ μὴ πάσας πάντως τὰς ὁμοιότητας ἀποδιδόντι. ταὐτὸν δὴ καὶ κατὰ τοὺς λόγους ἰδεῖν δεῖ γιγνόμενον, ὅτι τὰ μὲν οὐράνια καὶ θεῖα ἀγαπῶμεν καὶ σμικρῶς εἰκότα λεγόμενα, τὰ δὲ θνητὰ καὶ τἀνθρώπινα ἀκριβῶς ἐξετάζομεν. ἐκ δὴ τοῦ παραχρῆμα νῦν λεγόμενα, τὸ πρέπον ἂν μὴ δυνώμεθα πάντως ἀποδιδόναι, συγγιγνώσκειν χρεών. οὐ γὰρ ὡς ῥᾴδια τὰ θνητὰ, ἀλλ᾽ ὡς χαλεπὰ πρὸς δόξαν ὄντα ἀπεικάζειν, δεῖ διανοεῖσθαι. ταῦτα δὴ βουλόμενος ὑμᾶς ὑπομνῆσαι, καὶ τὸ τῆς συγγνώμης οὐκ ἔλαττον ἀλλὰ μεῖζον αἰτῶν περὶ τῶν μελλόντων ῥηθήσεσθαι, πάντα ταῦτα εἴρηκα, ὦ Σώκρατες· εἰ δὲ δὴ δικαίως αἰτεῖν φαίνομαι, τὴν δωρεὰν ἑκόντες δίδοτε. ΣΩ. Τί δ᾽ οὐ μέλλομεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ᾽ ἔτι τρίτῳ διδόσθω ταὐτὸν τοῦτο Ἑρμοκράτει παρ᾽ ἡμῶν. δῆλον γὰρ ὡς ὀλίγον ὕστερον, ὅταν αὐτὸν δέῃ λέγειν, παραιτήσεται καθάπερ ὑμεῖς. ἵν᾽ οὖν ἑτέραν ἀρχὴν ἐκπορίζηται, καὶ μὴ τὴν αὐτὴν ἀναγκασθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης ἴστω, οὕτω τε λεγέτω. προλέγω γεμὴν, ὦ φίλε Κριτία, σοὶ τὴν τοῦ θεάτρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμησεν ἐν αὐτῷ ποιητής· ὥστε τῆς συγγνώμης δεήσει τινὸς σοὶ παμπόλλης, εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν. ΕΡ. Ταὐτὸν μὴν, ὦ

Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅπερ τῷδε. ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν, ὦ Κριτία. προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείως χρὴ, καὶ τὸν παιᾶνά τε καὶ τὰς Μούσας ἐπικαλούμενον, τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν. ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστεραίας τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον, ἔτι θαῤῥεῖς. τοῦτο μὲν οὖν οἷόν ἐστιν, αὐτός σοι τάχα δηλώσει. παραμυθουμένῳ δ᾽ οὖν καὶ παραθαῤῥύνοντί σοι πειστέον· καὶ πρὸς οἷς θεοῖς εἶπες, τούς τε ἄλλους κλητέον, καὶ δὴ ταμάλιστα τὴν Μνημοσύνην. σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ᾽ ἐστί. μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τὰ ποτὲ ῥηθέντα ὑπὸ τῶν ἱερέων, καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα σχεδὸν, οἶσθ᾽ ὅτι καὶ τῷδε τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀποτετελεκέναι. τοῦτ᾽ οὖν αὐτὸ ἤδη δραστέον, καὶ μελλητέον οὐδὲν ἔτι. πάντων δὴ πρῶτον μνησθῶμεν, ὅτι τὸ κεφάλαιον ἦν ἐννάκις ἔτη χίλια ἀφ᾽ οὗ γεγονὼς ἐμηνύθη πόλεμος τοῖς θ᾽ ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρχουσα καὶ πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο· τῶν δ᾽ οἱ τῆς Ἀτλαντίδος νήσου βασιλεῖς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν δυσανάπορον πηλὸν. τοῖς δ᾽ ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος, ὥστε μηκέτι πορεύεσθαι κωλυτὴν παρασχεῖν. τὰ μὲν δὴ πολλὰ ἔθνη βάρβαρα, καὶ ὅσα Ἑλλήνων ἦν τότε γένη, καθ᾽ ἕκα-

ἐξετάζομεν οὔτε ἐλέγχομεν τὰ γεγραμμένα, σκιαγραφίᾳ δὲ ἀσαφεῖ καὶ ἀπατηλῷ χρώμεθα περὶ αὐτά· τὰ δὲ ἡμέτερα ὁπόταν τὶς ἐπιχειρῇ σώματα ἀπεικάζειν, ὀξέως αἰσθανόμενοι τὸ παραλειπόμενον, διὰ τὴν ἀεὶ ξύνοικον κατανόησιν, χαλεποὶ κριταὶ γιγνόμεθα τῷ μὴ πάσας πάντως τὰς ὁμοιότητας ἀποδιδόντι. ταὐτὸν δὴ καὶ κατὰ τοὺς λόγους ἰδεῖν δεῖ γιγνόμενον, ὅτι τὰ μὲν οὐράνια καὶ θεῖα ἀγαπῶμεν καὶ σμικρῶς εἰκότα λεγόμενα, τὰ δὲ θνητὰ καὶ τἀνθρώπινα ἀκριβῶς ἐξετάζομεν. ἐκ δὴ τοῦ παραχρῆμα νῦν λεγόμενα, τὸ πρέπον ἂν μὴ δυνώμεθα πάντως ἀποδιδόναι, συγγιγνώσκειν χρεών. οὐ γὰρ ὡς ῥᾴδια τὰ θνητὰ, ἀλλ' ὡς χαλεπὰ πρὸς δόξαν ὄντα ἀπεικάζειν, δεῖ διανοεῖσθαι. ταῦτα δὴ βουλόμενος ὑμᾶς ὑπομνῆσαι, καὶ τὸ τῆς συγγνώμης οὐκ ἔλαττον ἀλλὰ μεῖζον αἰτῶν περὶ τῶν μελλόντων ῥηθήσεσθαι, πάντα ταῦτα εἴρηκα, ὦ Σώκρατες· εἰ δὲ δὴ δικαίως αἰτεῖν φαίνομαι, τὴν δωρεὰν ἑκόντες δίδοτε. ΣΩ. Τί δ' οὐ μέλλομεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ' ἔτι τρίτῳ διδόσθω ταὐτὸν τοῦτο Ἑρμοκράτει παρ' ἡμῶν. δῆλον γὰρ ὡς ὀλίγον ὕστερον, ὅταν αὐτὸν δέῃ λέγειν, παραιτήσεται καθάπερ ὑμεῖς. ἵν' οὖν ἑτέραν ἀρχὴν ἐκπορίζηται, καὶ μὴ τὴν αὐτὴν ἀναγκασθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης ἴστω; οὕτω τε λεγέτω. προλέγω γεμὴν, ὦ φίλε Κριτία, σοὶ τὴν τοῦ θεάτρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμησεν ἐν αὐτῷ ποιητής· ὥστε τῆς συγγνώμης δεήσει τινὸς σοὶ παμπόλλης, εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν. ΕΡ. Ταὐτὸν μὴν, ὦ

Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅπερ τῷδε. ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν, ὦ Κριτία. προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείως χρὴ, καὶ τὸν παιᾶνά τε καὶ τὰς Μούσας ἐπικαλούμενον, τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν. ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστεραίας τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον, ἔτι θαῤῥεῖς. τοῦτο μὲν οὖν οἷόν ἐστιν, αὐτός σοι τάχα δηλώσει. παραμυθουμένῳ δ' οὖν καὶ παραθαῤῥύνοντί σοι πειστέον· καὶ πρὸς οἷς θεοῖς εἶπες, τούς τε ἄλλους κλητέον, καὶ δὴ ταμάλιστα τὴν Μνημοσύνην. σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ' ἐστί. μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τὰ ποτὲ ῥηθέντα ὑπὸ τῶν ἱερέων, καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα σχεδὸν, οἶσθ' ὅτι καὶ τῷδε τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀποτετελεκέναι. τοῦτ' οὖν αὐτὸ ἤδη δραστέον, καὶ μελλητέον οὐδὲν ἔτι. πάντων δὴ πρῶτον μνησθῶμεν, ὅτι τὸ κεφάλαιον ἦν ἐννάκις ἔτη χίλια ἀφ' οὗ γεγονὼς ἐμηνύθη πόλεμος τοῖς θ' ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρχουσα καὶ πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο· τῶν δ' οἱ τῆς Ἀτλαντίδος νήσου βασιλεῖς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν δυσανάπορον πηλὸν. τοῖς δ' ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος, ὥστε μηκέτι πορεύεσθαι κωλυτὴν παρασχεῖν. τὰ μὲν δὴ πολλὰ ἔθνη βάρβαρα, καὶ ὅσα Ἑλλήνων ἦν τότε γένη, καθ' ἕκα-

στα ἡ τοῦ λόγου διέξοδος οἷον ἀνειλουμένη, τὸ προστυχὸν ἑκασταχοῦ δηλώσει· τὸ δὲ Ἀθηναίων τε τῶν τότε καὶ τῶν ἐναντίων, ὡς διεπολέμησαν, ἀνάγκη κατ' ἀρχὰς διελθεῖν πρῶτα, τήν τε δύναμιν ἑκατέρων καὶ τὰς πολιτείας. αὐτῶν δὲ τούτων τὰ τῆδε ἔμπροσθεν προτιμητέον εἰπεῖν. Θεοὶ γὰρ ἅπασαν γῆν ποτε κατὰ τοὺς τόπους διελάγχανον, οὐ κατ' ἔριν (οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον, θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάστοις αὐτῶν, οὐδ' αὖ γινώσκοντας τὸ μᾶλλον ἄλλοις προσῆκον, τοῦτο ἑτέρους αὑτοῖς δι' ἐρίδων ἐπιχειρεῖν κτᾶσθαι) δίκης δὲ κλήροις τὰ φίλων λαγχάνοντες κατῴκιζον τὰς χώρας· καὶ κατοικίσαντες, οἷον νομεῖς κτήματα καὶ ποίμνια καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον· πλὴν οὐ σώμασι σώματα βιαζόμενοι, καθάπερ ποιμένες κτήνη πληγῇ νέμοντες, ἀλλ' ᾗ μάλιστα διάνοιαν οὕτως ἄγοντες το θνητὸν ἅπαν ἐκυβέρνων. ἄλλοι μὲν οὖν κατ' ἄλλους τόπους κληρουχήσαντες θεῶν ἐκεῖνα ἐκόσμουν· Ἥφαιστος δὲ κοινὴν καὶ Ἀθηνᾶ φύσιν ἔχοντες, ἅμα μὲν ἀδελφὴν ἐκ ταὐτοῦ πατρὸς, ἅμα δὲ φιλοσοφίᾳ φιλοτεχνίᾳ τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες, οὕτω μίαν ἄμφω λῆξιν, τήνδε τὴν χώραν εἰλήχατον, ὡς οἰκείαν καὶ πρόσφορον ἀρετῇ καὶ φρονήσει πεφυκυῖαν. ἄνδρας δὲ ἀγαθοὺς ἐμποιήσαντες αὐτόχθονας, ἐπὶ νοῦν ἔθεσαν τὴν τῆς πολιτείας τάξιν· ὧν τὰ μὲν ὀνόματα σέσωσται, τὰ δὲ ἔργα, διὰ τὰς τῶν παραλαμβανόντων φθορὰς, καὶ τῷ μήκει τῶν χρόνων, ἠφανίσθη. τὸ γὰρ περιλειπόμενον ἀεὶ γένος (ὥσπερ καὶ πρόσθεν ἐῤῥήθη) κατελείπετο ὄρειον καὶ ἀγράμμα-

τον, τῶν ἐν τῇ χώρᾳ δυναστῶν τὰ ὀνόματα ἀκηκοὼς μόνον, καὶ βραχέα πρὸς αὐτοῖς τῶν ἔργων. τὰ μὲν οὖν ὀνόματα τοῖς ἐκγόνοις ἐτίθεντο ἀγαπῶντες· τὰς δὲ ἀρετὰς καὶ τοὺς νόμους τῶν ἔμπροσθεν οὐκ εἰδότες, εἰ μὴ σκοτεινάς περὶ ἑκάστων τινὰς ἀκοὰς, ἐν ἀπορίᾳ δὲ τῶν ἀναγκαίων ἐπὶ πολλὰς γενεὰς ὄντες καὶ αὐτοὶ καὶ παῖδες, πρὸς οἷς ἠπόρουν τὸν νοῦν ἔχοντες, τούτων πέρι καὶ τοὺς λόγους ποιούμενοι, τῶν ἐν τοῖς πρόσθεν καὶ πάλαι ποτὲ γεγονότων ἠμέλουν. μυθολογία γὰρ, ἀναζήτησίς τε τῶν παλαιῶν, μετὰ σχολῆς ἅμ' ἐπὶ τὰς πόλεις ἔρχεσθον, ὅταν ἴδητόν τισιν ἤδη τοῦ βίου τἀναγκαῖα κατεσκευασμένα· πρὶν δὲ, οὔ. ταύτῃ δὴ τὰ τῶν παλαιῶν ὀνόματα ἄνευ τῶν ἔργων διασέσωσται. λέγω δὲ αὐτὰ, τεκμαιρόμενος ὅτι Κέκροπός τε καὶ Ἐρεχθέως καὶ Ἐριχθονίου καὶ Ἐρυσίχθονος, τῶν τε ἄλλων τὰ πλεῖστα ὅσα περ καὶ Θησέως τῶν ἄνω περὶ τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τὰ πολλὰ ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε διηγεῖσθαι πόλεμον, καὶ τὰ τῶν γυναικῶν καὶ ταῦτα. καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότ' ἦν τὰ ἐπιτηδεύματα ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ' ἐκεῖνον τὸν χρόνον ὡπλισμένην τὴν θεὰν ἀνάθημα εἶναι τοῖς τότε· ἔνδειγμα ὅτι πάνθ' ὅσα ξύννομα ζῶα θήλεα, καὶ ὅσα ἄῤῥενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκεν. ᾤκει δὲ τότ' ἐν τῇδε τῇ χώρᾳ τὰ μὲν ἄλλα ἔθνη τῶν πολιτῶν, περὶ τὰς δημιουργίας ὄντα καὶ τὴν ἐκ τῆς γῆς τροφὴν

τὸ δὲ μάχιμον, ὑπ' ἀνδρῶν θείων κατ' ἀρχὰς ἀφορισθὲν, ᾤκει χωρὶς, πάντα εἰς τροφὴν καὶ παίδευσιν τὰ προσήκοντα ἔχον· ἴδιον μὲν αὐτῶν οὐδεὶς οὐδὲν κεκτημένος, ἅπαντα δὲ πάντων κοινὰ νομίζοντες αὐτῶν· πέρα δὲ ἱκανῆς τροφῆς οὐδὲν ἀξιοῦντες παρὰ τῶν ἄλλων δέχεσθαι πολιτῶν· καὶ πάντα δὴ τὰ χθὲς λεχθέντα ἐπιτηδεύματα ἐπιτηδεύοντες, ὅσα περὶ τῶν ὑποτεθέντων ἐῤῥήθη φυλάκων. καὶ δὴ τὸ περὶ τῆς χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο, πρῶτον μὲν, τοὺς ὅρους αὐτὴν ἐν τῷ τότε ἔχειν ἀφωρισμένους πρὸς τὸν Ἰσθμὸν, καὶ τὸ κατὰ τὴν ἄλλην Ἤπειρον, μέχρι τοῦ Κιθαιρῶνος καὶ Πάρνηθος τῶν ἄκρων. καταβαίνειν δὲ τοὺς ὅρους ἐν δεξιᾷ τὴν Ὠρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς θαλάσσῃ ἀφορίζοντας τὸν Ἀσωπόν· ἀρετῇ δὲ πᾶσαν γῆν ὑπὲρ τῆς ἐνθάδε ὑπερβάλλεσθαι. διὸ καὶ δυνατὴν εἶναι τότε τρέφειν τὴν χώραν στρατόπεδον πολὺ τὸ τῶν περιοίκων. μέγα δὲ τεκμήριον ἀρετῆς· τὸ γὰρ νῦν αὐτῆς λείψανον ἐνάμιλλόν ἐστι πρὸς ἥντινοῦν, τῷ πάμφορον εὔκαρπόν τε εἶναι, καὶ τοῖς ζώοις πᾶσιν εὔβοτον. τότε δὲ, πρὸς τῷ κάλλει καὶ παμπληθεῖ ταῦτα ἔφερε. πῶς οὖν δὴ τοῦτο πιστόν; καὶ κατὰ τί, λείψανον τῆς τότε γῆς ὀρθῶς ἂν λέγοιτο; πᾶσα ἀπὸ τῆς ἄλλης ἠπείρου μακρὰ προτείνουσα εἰς τὸ πέλαγος οἷον ἄκρα κεῖται· τὸ δὴ τῆς θαλάσσης ἀγγεῖον περὶ αὐτὴν τυγχάνει πᾶν, ἀγχιβαθὲς ὄν. πολλῶν οὖν γεγονότων καὶ μεγάλων κατακλυσμῶν ἐν τοῖς ἐννακισχιλίοις ἔτεσι (τοσαῦτα γὰρ πρὸς τὸ νῦν ἀπ' ἐκείνου τοῦ χρόνου γέγονεν ἔτη) τὸ τῆς γῆς ἐν τούτοις

τοῖς χρόνοις καὶ πάθεσιν ἐκ τῶν ὑψηλῶν ἀποῤῥέον, οὔτε χῶμα, ὥς ἐν ἄλλοις τόποις, προχοῖ λόγου ἄξιον, ἀεί τε κύκλῳ περιῤῥέον εἰς βάθος ἀφανίζεται. λέλειπται δὴ, καθάπερ ἐν ταῖς σμικραῖς νήσοις, πρὸς τὰ τότε τὰ νῦν, οἷον νοσήσαντος σώματος ὀστᾶ, περιεῤῥυηκυίας τῆς γῆς ὅση πίειρα καὶ μαλακὴ, τοῦ λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος. τότε δὲ ἀκέραιος οὖσα, τά τε ὄρη γηλόφους ὑψηλοὺς εἶχε, καὶ τὰ Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας ἐκέκτητο, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν· ἧς καὶ νῦν ἔτι φανερὰ τεκμήρια. τῶν γὰρ ὀρῶν ἐστιν ἃ νῦν μὲν ἔχει μελίτταις μόναις τροφὴν, χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων αὐτόθεν εἰς οἰκοδομὴν εἰς τὰς μεγίστας ἐρεψίμων τμηθέντων στεγάσματ' ἐστὶν ἔτι σῶα. πολλὰ δ' ἦν ἄλλ' ἥμερα ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήμασιν ἀμήχανον ἔφερε. καὶ δὴ τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο ἐκ Διός· οὐχ ὡς νῦν ἀπολλῦσα ἀπὸ ψιλῆς τῆς γῆς εἰς θάλατταν, ἀλλὰ πολλὴν ἔχουσα, καὶ εἰς αὐτὴν καταδεχομένη τῇ κεραμίδι στεγούσῃ καὶ διαταμιευομένη, καὶ τὸ καταποθὲν ἐκ τῶν ὑψηλῶν ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα, κατὰ πάντας τοὺς τόπους παρείχετο ἄφθονα κρηνῶν καὶ ποταμῶν νάματα· ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς πηγαῖς ταῖς πρότερον οὔσαις ἱερὰ λελειμμένα, ἐστὶ σημεῖα διότι περὶ ταύτης ἀληθῆ λέγεται τὰ νῦν. τὰ μὲν οὖν τῆς ἄλλης χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο, ὡς εἰκὸς, ὑπὸ γεωργῶν μὲν ἀληθινῶν, καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκάλων δὲ καὶ εὐφυῶν· γῆν δὲ ἀρίστην καὶ ὕδωρ ἀφθονώτατον ἐ-

τὸ δὲ μάχιμον, ὑπ᾽ ἀνδρῶν θείων κατ᾽ ἀρχὰ
σθὲν, ᾤκει χωρὶς, πάντα εἰς τροφὴν καὶ π
τὰ προσήκοντα ἔχον· ἴδιον μὲν αὐτῶν οὐδ
κεκτημένος, ἅπαντα δὲ πάντων κοινὰ νομίζο
τῶν· πέρα δὲ ἱκανῆς τροφῆς οὐδὲν ἀξιοῦντ
τῶν ἄλλων δέχεσθαι πολιτῶν· καὶ πάντα δὴ
λεχθέντα ἐπιτηδεύματα ἐπιτηδεύοντες, ὅσα
ὑποτεθέντων ἐῤῥήθη φυλάκων. καὶ δὴ τὸ
χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο,
μὲν, τοὺς ὅρους αὐτὴν ἐν τῷ τότε ἔχειν ἀφ
νους πρὸς τὸν Ἰσθμὸν, καὶ τὸ κατὰ τὴν ἄ
πειρον, μέχρι τοῦ Κιθαιρῶνος καὶ Πάρνη
ἄκρων. καταβαίνειν δὲ τοὺς ὅρους ἐν δεξιᾷ
ρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς θαλάσ
ρίζοντας τὸν Ἀσωπόν· ἀρετῇ δὲ πᾶσαν γῆν ὑ
ἐνθάδε ὑπερβάλλεσθαι. διὸ καὶ δυνατὴν εἶ
τρέφειν τὴν χώραν στρατόπεδον πολὺ τὸ τ
οἴκων. μέγα δὲ τεκμήριον ἀρετῆς· τὸ γὰρ νῦ
λείψανον ἐνάμιλλόν ἐστι πρὸς ἥντινοῦν, τῷ
ρον εὔκαρπόν τε εἶναι, καὶ τοῖς ζώοις πᾶσι
τον. τότε δὲ, πρὸς τῷ κάλλει καὶ παμπληθε
ἔφερε. πῶς οὖν δὴ τοῦτο πιστόν; καὶ κατὰ
ψανον τῆς τότε γῆς ὀρθῶς ἂν λέγοιτο; πᾶ
τῆς ἄλλης ἠπείρου μακρὰ προτείνουσα εἰς τ
γος οἷον ἄκρα κεῖται· τὸ δὴ τῆς θαλάσσης
περὶ αὐτὴν τυγχάνει πᾶν, ἀγχιβαθὲς ὄν. πολ
γεγονότων καὶ μεγάλων κατακλυσμῶν ἐν τοῖ
κισχιλίοις ἔτεσι (τοσαῦτα γὰρ πρὸς τὸ νῦν ἀ
νου τοῦ χρόνου γέγονεν ἔτη) τὸ τῆς γῆς ἐν

τοῖς χρόνοις καὶ πάθεσιν ἐκ τῶν ὑψηλῶν ἀποῤῥέον, οὔτε χῶμα, ὡς ἐν ἄλλοις τόποις, προχοῖ λόγου ἄξιον, ἀεί τε κύκλῳ περιῤῥέον εἰς βάθος ἀφανίζεται. λέλειπται δὴ, καθάπερ ἐν ταῖς σμικραῖς νήσοις, πρὸς τὰ τότε τὰ νῦν, οἷον νοσήσαντος σώματος ὀστᾶ, περιεῤῥυηκυίας τῆς γῆς ὅση πίειρα καὶ μαλακὴ, τοῦ λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος. τότε δὲ ἀκέραιος οὖσα, τά τε ὄρη γηλόφους ὑψηλοὺς εἶχε, καὶ τὰ Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας ἐκέκτητο, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν· ἧς καὶ νῦν ἔτι φανερὰ τεκμήρια. τῶν γὰρ ὀρῶν ἐστιν ἃ νῦν μὲν ἔχει μελίτταις μόναις τροφὴν, χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων αὐτόθεν εἰς οἰκοδομὴν εἰς τὰς μεγίστας ἐρεψίμων τμηθέντων στεγάσματ' ἐστὶν ἔτι σῶα. πολλὰ δ' ἦν ἄλλ' ἥμερα ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήμασιν ἀμήχανον ἔφερε. καὶ δὴ τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο ἐκ Διός· οὐχ ὡς νῦν ἀπολλῦσα ἀπὸ ψιλῆς τῆς γῆς εἰς θάλατταν, ἀλλὰ πολλὴν ἔχουσα, καὶ εἰς αὑτὴν καταδεχομένη τῇ κεραμίδι στεγούσῃ καὶ διαταμιευομένη, καὶ τὸ καταποθὲν ἐκ τῶν ὑψηλῶν ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα, κατὰ πάντας τοὺς τόπους παρείχετο ἄφθονα κρηνῶν καὶ ποταμῶν νάματα· ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς πηγαῖς ταῖς πρότερον οὔσαις ἱερὰ λελειμμένα, ἐστὶ σημεῖα διότι περὶ ταύτης ἀληθῆ λέγεται τὰ νῦν. τὰ μὲν οὖν τῆς ἄλλης χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο, ὡς εἰκὸς, ὑπὸ γεωργῶν μὲν ἀληθινῶν, καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκάλων δὲ καὶ εὐφυῶν· γῆν δὲ ἀρίστην καὶ ὕδωρ ἀφθονώτατον ἔχον-

των, καὶ ὑπὲρ τῆς γῆς ὥρας μετριώτατον κεκραμένας. τὸ δ' ἄστυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ. πρῶτον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τανῦν ἔχει. νῦν μὲν γὰρ μία γενομένη νὺξ ὑγρὰ, διαφερόντως γῆν αὐτὴν ψιλὴν περιτήξασα, πεποίηκε σεισμὸν ἅμα· καὶ πρὸ τῆς Δευκαλίωνος φθορᾶς, τρίτου πρότερον ὕδατος ἐξαισίου. τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἰλισσὸν ἀποβεβηκυῖα, καὶ περιειληφυῖα ἐντὸς τὴν Πνύκα καὶ τὸν Λυκαβητὸν, ὅρον ἐκ τοῦ καταντικρὺ Πνυκὸς ἔχουσα. γεώδης δ' ἦν πᾶσα, καὶ πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν. ᾤκητο δὲ, τὰ μὲν ἔξωθεν, ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δημιουργῶν καὶ τῶν γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ' ἐπάνω, τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ γένος μόνον περὶ τὸ τῆς Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκει, οἷον μιᾶς οἰκίας κῆπον ἑνὶ περιβόλῳ προσπεριβεβλημένοι. τὰ γὰρ πρὸς βοῤῥᾶν αὐτῆς ᾤκουν, οἰκίας κοινὰς καὶ ξυσσίτια χειμερινὰ κατεσκευασμένοι, καὶ πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ δι' οἰκοδομῆς ὧν χρεὼν ὑπάρχειν αὐτῶν καὶ τῶν ἱερῶν ἄνευ χρυσοῦ καὶ ἀργύρου. τούτοις γὰρ οὐδὲν οὐδαμόσε προσεχρῶντο, ἀλλὰ τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας διώκοντες, κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν αἷς αὐτοί τε καὶ ἐκγόνων ἔκγονοι καταγηρῶντες, ἄλλοις ὁμοίοις τὰς αὐτὰς ἀεὶ παρεδίδοσαν. τὰ δὲ πρὸς νότου, κήπους καὶ γυμνάσια, συσσίτιά τε ἀνέντες, οἷα θέρους, κατεχρῶντο ἐπὶ ταῦτα αὐτοῖς. κρήνη δ' ἦ μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον· ἧς

σβεσθείσης ὑπὸ τῶν σεισμῶν, τὰ νῦν ὕδατα σμικρὰ κύκλῳ καταλέλειπται· τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐκραὴς οὖσα πρός χειμῶνά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν τῷ σχήματι, τῶν μὲν αὑτῶν πολιτῶν φύλακες, τῶν δὲ ἄλλων Ἑλλήνων ἡγεμόνες ἑκόντων· πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταὐτὸν ἑαυτῶν εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν καὶ γυναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη κατὰ τὰ ἔτη, περὶ δύο μάλιστα ὄντας μυριάδας. οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε ὄντες αὐτοὶ, καί τινα τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν καὶ τὴν Ἑλλάδα δίκῃ διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν, κατά τε σωμάτων κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν παντοίαν ἀρετὴν, ἐλλόγιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάντων τῶν τότε, τάγε δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα ἦν, ὥστε ἀπ᾽ ἀρχῆς ἐγένετο (μνήμης ἂν μὴ στερηθῶμεν ὧν ἔτι παῖδες ὄντες ἠκούσαμεν) εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσομεν, ὑμῖν τοῖς φίλοις εἶναι κοινά. τὸ δ᾽ ἔτι βραχὺ πρὸ τοῦ λόγου δεῖ δηλῶσαι, μὴ πολλάκις ἀκούοντες Ἑλληνικὰ βαρβάρων ἀνδρῶν ὀνόματα θαυμάζητε. τὸ γὰρ αἴτιον αὐτῶν πεύσεσθε. Σόλων ἐπινοῶν εἰς τὴν αὑτοῦ ποίησιν καταχρήσασθαι τῷ λόγῳ, διαπυνθανόμενος τὴν τῶν ὀνομάτων δύναμιν, εὗρε, τούς τε Αἰγυπτίους τοὺς πρώτους ἐκείνους αὐτὰ γραψαμένους, εἰς τὴν αὑτῶν φωνὴν μετενηνοχότας· αὐτός τε αὖ πάλιν ἑκάστου τὴν διάνοιαν ὀνόματος ἀναλαμβάνων, εἰς τὴν ἡμετέραν ἄγων φωνὴν ἀπεγράφετο. καὶ ταῦτά γε δὴ τὰ γράμματα παρὰ τῷ πάππῳ τ᾽ ἦν, καὶ ἔτ᾽ ἐστὶ παρ᾽ ἐμοὶ

των, καὶ ὑπὲρ τῆς γῆς ὥρας μετριώτατον κεκραμένας. τὸ δ' ἄστυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ. πρῶτον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τανῦν ἔχει. νῦν μὲν γὰρ μία γενομένη νὺξ ὑγρὰ, διαφερόντως γῆν αὐτὴν ψιλὴν περιτήξασα, πεποίηκε σεισμὸν ἅμα· καὶ πρὸ τῆς Δευκαλίωνος φθορᾶς, τρίτου πρότερον ὕδατος ἐξαισίου. τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἰλισσὸν ἀποβεβηκυῖα, καὶ περιειληφυῖα ἐντὸς τὴν Πνύκα καὶ τὸν Λυκαβητὸν, ὅρον ἐκ τοῦ καταντικρὺ Πνυκὸς ἔχουσα. γεώδης δ' ἦν πᾶσα, καὶ πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν. ᾤκητο δὲ, τὰ μὲν ἔξωθεν, ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δημιουργῶν καὶ τῶν γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ' ἐπάνω, τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ γένος μόνον περὶ τὸ τῆς Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκει, οἷον μιᾶς οἰκίας κῆπον ἑνὶ περιβόλῳ προσπεριβεβλημένοι. τὰ γὰρ πρὸς βοῤῥᾶν αὐτῆς ᾤκουν, οἰκίας κοινὰς καὶ ξυσσίτια χειμερινὰ κατεσκευασμένοι, καὶ πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ δι' οἰκοδομῆς ὧν χρεὼν ὑπάρχειν αὐτῶν καὶ τῶν ἱερῶν ἄνευ χρυσοῦ καὶ ἀργύρου. τούτοις γὰρ οὐδὲν οὐδαμόσε προσεχρῶντο, ἀλλὰ τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας διώκοντες, κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν αἷς αὐτοί τε καὶ ἐκγόνων ἔκγονοι καταγηρῶντες, ἄλλοις ὁμοίοις τὰς αὐτὰς ἀεὶ παρεδίδοσαν. τὰ δὲ πρὸς νότου, κήπους καὶ γυμνάσια, συσσίτιά τε ἀνέντες, οἷα θέρους, κατεχρῶντο ἐπὶ ταῦτα αὐτοῖς. κρήνη δ' ἦν μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον· ἧς ἀπο

σβεσθείσης ὑπὸ τῶν σεισμῶν, τὰ νῦν ὕδατα σμικρὰ κύκλῳ καταλέλειπται· τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐκραὴς οὖσα πρὸς χειμῶνά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν τῷ σχήματι, τῶν μὲν αὐτῶν πολιτῶν φύλακες, τῶν δὲ ἄλλων Ἑλλήνων ἡγεμόνες ἑκόντων· πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταὐτὸν ἑαυτῶν εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν καὶ γυναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη κατὰ τὰ ἔτη, περὶ δύο μάλιστα ὄντας μυριάδας. οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε ὄντες αὐτοὶ, καί τινα τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν καὶ τὴν Ἑλλάδα δίκῃ διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν, κατά τε σωμάτων κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν παντοίαν ἀρετὴν, ἐλλόγιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάντων τῶν τότε, τάγε δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα ἦν, ὥστε ἀπ᾽ ἀρχῆς ἐγένετο (μνήμης ἂν μὴ στερηθῶμεν ὧν ἔτι παῖδες ὄντες ἠκούσαμεν) εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσομεν, ὑμῖν τοῖς φίλοις εἶναι κοινά. τὸ δ᾽ ἔτι βραχὺ πρὸ τοῦ λόγου δεῖ δηλῶσαι, μὴ πολλάκις ἀκούοντες Ἑλληνικὰ βαρβάρων ἀνδρῶν ὀνόματα θαυμάζητε. τὸ γὰρ αἴτιον αὐτῶν πεύσεσθε. Σόλων ἐπινοῶν εἰς τὴν αὑτοῦ ποίησιν καταχρήσασθαι τῷ λόγῳ, διαπυνθανόμενος τὴν τῶν ὀνομάτων δύναμιν, εὗρε, τούς τε Αἰγυπτίους τοὺς πρώτους ἐκείνους αὐτὰ γραψαμένους, εἰς τὴν αὑτῶν φωνὴν μετενηνοχότας· αὐτός τε αὖ πάλιν ἑκάστου τὴν διάνοιαν ὀνόματος ἀναλαμβάνων, εἰς τὴν ἡμετέραν ἄγων φωνὴν ἀπεγράφετο. καὶ ταῦτά γε δὴ τὰ γράμματα παρὰ τῷ πάππῳ τ᾽ ἦν, καὶ ἔτ᾽ ἐστὶ παρ᾽ ἐμοὶ

νῦν, διαμεμελέτηταί τε ὑπ' ἐμοῦ παιδὸς ὄντος. ἂν οὖν ἀκούητε τοιαῦτα οἷα καὶ τῇδε ὀνόματα, μηδὲν ὑμῖν ἔστω θαῦμα. τὸ γὰρ αἴτιον αὐτῶν ἔχετε. μακροῦ δὲ δὴ λόγου ἥ ἀρχὴ τότε, καθάπερ ἐν τοῖς πρόσθεν ἐλέχθη, περὶ τῆς τῶν θεῶν λήξεως, ὅτι κατενείμαντο γῆν πᾶσαν· ἔνθα μὲν μείζους λήξεις, ἔνθα δὲ καὶ ἐλάττους, ἱερὰ, θυσίας τε αὑτοῖς κατασκευάζοντες. οὕτω δὴ καὶ τὴν νῆσον Ποσειδῶν τὴν Ἀτλαντίδα λαχὼν, ἐκγόνους ἑαυτοῦ κατῴκισεν ἐκ θνητῆς γυναικὸς γεννήσας ἔν τινι τόπῳ τῆς νήσου τοιῷδε· πρὸς θαλάττῃ μὲν, κατὰ δὲ μέσον πάσης πεδίον ἦν, ὃ δὴ πάντων πεδίον κάλλιστον ἀρετῇ τε ἱκανὸν γενέσθαι λέγεται. πρὸς τῷ πεδίῳ δ' αὖ κατὰ μέσον σταδίους ὡς πεντήκοντα ἀφεστὼς ἦν ὄρος βραχὺ πάντῃ. τούτῳ δ' ἦν ἔνοικος τῶν ἐκεῖ κατὰ ἀρχὰς ἐκ γῆς ἀνδρῶν γεγονότων, Εὐήνωρ μὲν τοὔνομα, γυναικὶ δὲ συνοικῶν Λευκίππῃ· Κλειτὼ δὲ μονογενῆ θυγατέρα ἐγεννησάσθην. ἤδη δ' εἰς ἀνδρὸς ὥραν ἡκούσης τῆς κόρης, ἥ τε μήτηρ τελευτᾷ καὶ ὁ πατήρ· αὐτῆς δὲ εἰς ἐπιθυμίαν Ποσειδῶν ἐλθὼν, συμμίγνυται· καὶ τὸν γήλοφον ἐν ᾧ κατῴκισται, ποιῶν εὐερκῆ, περιῤῥήγνυσι κύκλῳ, θαλάττης γῆς τε ἐναλλὰξ ἐλάττους μείζους τε περὶ ἀλλήλους ποιῶν τροχούς· δύο μὲν, γῆς, θαλάττης δὲ, τρεῖς· οἷον τορνεύων ἐκ μέσης τῆς νήσου πάντῃ ἴσον ἀφεστῶτας, ὥστε ἄβατον ἀνθρώποις εἶναι. πλοῖα γὰρ καὶ τὸ πλεῖν οὔπω τότ' ἦν. αὐτὸς δὲ τήν τε ἐν μέσῳ νῆσον, οἷα δὴ θεὸς, εὐμαρῶς διεκόσμησεν, ὕδατα μὲν διττὰ ὑπὸ γῆς ἄνω πηγαῖα κοσμήσας, τὸ μὲν,

θερμόν, ψυχρὸν δὲ, ἐκ κρήνης ἀποῤῥέον, ἕτερον. τροφὴν δὲ παντοίαν καὶ ἱκανὴν ἐκ τῆς γῆς ἀναδιδούς. πέντε δὲ ἀῤῥένων πέντε γεννήσεις διδύμους γεννησάμενος ἐθρέψατο. καὶ τὴν νῆσον τὴν Ἀτλαντίδα πᾶσαν, δέκα μέρη κατανείμας, τῷ μὲν πρεσβυτάτῳ, τῷ προτέρῳ γενομένῳ, τήν τε μητρῴαν οἴκησιν καὶ τὴν κύκλῳ λῆξιν, πλείστην καὶ ἀρίστην οὖσαν, ἀπένειμε· βασιλέα τε τῶν ὅλων κατέστησε, τοὺς δὲ ἄλλους, ἄρχοντας. ἑκάστῳ δὲ ἀρχὴν πολλῶν ἀνθρώπων καὶ πολλῆς χώρας ἔδωκεν. ὀνόματα δὲ πᾶσιν ἔθετο, τῷ μὲν πρεσβυτάτῳ καὶ βασιλεῖ τούτῳ, οὗ δὴ καὶ πᾶσα ἡ νῆσος τότε πέλαγος ἔσχεν ἐπωνυμίαν, Ἀτλαντικὸν λεχθὲν, ὅτι τοὔνομ᾽ ἦν τῷ πρώτῳ βασιλεύσαντι τότε Ἄτλας· τῷ δὲ διδύμῳ, μετ᾽ ἐκεῖνον τότε γενομένῳ, λῆξιν δὲ ἄκρας τῆς νήσου πρὸς Ἡρακλείων στηλῶν εἰληχότι, ἐπὶ τὸ τῆς Γαδειρικῆς νῦν χώρας κατ᾽ ἐκεῖνον τὸν τόπον ὀνομαζομένης, Ἑλληνιστὶ μὲν Εὔμηλον, τὸ δ᾽ ἐπιχώριον, Γάδειρον· ὅπερ ἂν τὴν ἐπίκλησιν ταύτην ὄνομα παράσχοι. τοῖν δὲ δευτέροιν γενομένοιν τὸν μὲν, Ἀμφήρη, τὸν δὲ, Εὐδαίμονα ἐκάλεσε. τριττοῖς δὲ, Μνησέα μὲν, τῷ προτέρῳ γενομένῳ· τῷ δὲ μετ᾽ αὐτὸν, Αὐτόχθονα· τῶν δὲ τετάρτων, Ἐλάσιππον μὲν, τὸν πρότερον· Μήστορα δὲ, τὸν ὕστερον. ἐπὶ δὲ τῆς πέμπτης, τῷ μὲν ἔμπροσθεν Ἀζάης ὄνομα ἐτέθη· τῷ δ᾽ ὑστέρῳ, Διαπρεπής. οὗτοι δὲ πάντες, αὐτοί τε καὶ ἔκγονοι τούτων, ἐπὶ γενεὰς παμπόλλας ᾤκουν, ἄρχοντες μὲν πολλῶν ἄλλων κατὰ τὸ πέλαγος νήσων, ἔτι δὲ, ὥσπερ καὶ πρότερον ἐῤῥήθη, μέχρι τε Αἰγύπτου καὶ Τυῤῥηνίας τῶν

ἐντὸς δεῦρο ἐπάρχοντες. Ἄτλαντος δὴ πολὺ μὲν ἄλλο καὶ τίμιον γίνεται γένος· βασιλεὺς δὲ ὁ πρεσβύτατος ἀεὶ τῷ πρεσβυτάτῳ τῶν ἐκγόνων παραδιδοὺς ἐπὶ γενεὰς πολλὰς τὴν βασιλείαν, διέσωζον, πλοῦτον μὲν κεκτημένοι πλήθει τοσοῦτον ὅσος οὔτέ πω πρόσθεν ἐν δυναστείαις τισὶ βασιλέων γέγονεν, οὔτε ποτὲ ὕστερον γενέσθαι ῥᾴδιος. κατεσκευασμένα δὲ πάντα ἦν αὐτοῖς ὅσα ἐν πόλει, καὶ ὅσα κατὰ τὴν ἄλλην χώραν τῶν πρὸς χρῆσιν ζητουμένων ἐστί. καὶ πολλὰ μὲν διὰ τὴν ἀρχὴν αὐτοῖς προσῄει ἔξωθεν, πλεῖστα δὲ ἡ νῆσος αὐτοῖς παρείχετο εἰς τὰς τοῦ βίου κατασκευάς. πρῶτον μὲν, ὅσα ὑπὸ μεταλλείας ὀρυττόμενα στερεὰ καὶ ὅσα τηκτὰ γέγονε· καὶ τὸ νῦν ὀνομαζόμενον, τότε δὲ πλέον ὀνομαστὸν ἦν τὸ γένος, ἐκ γῆς ὀρυττόμενον ὀρείχαλκον κατὰ τόπους πολλοὺς τῆς νήσου, πλὴν χρυσοῦ τιμιώτατον ἐν τοῖς τότε ὄν· καὶ ὅσα ὕλη πρὸς τὰ τεκτόνων διαπονήματα παρέχεται, πάντα φέρουσα ἄφθονα. τά τε αὖ περιττὰ ζῶα ἱκανῶς ἥμερα καὶ ἄγρια τρέφουσα, καὶ δὴ καὶ ἐλεφάντων ἦν ἐν αὐτῇ γένος πλεῖστον. νομὴ γὰρ τοῖς τε ἄλλοις ζώοις ὅσα καθ᾽ ἕλη καὶ λίμνας καὶ ποταμοὺς, ὅσά τ᾽ αὖ κατ᾽ ὄρη καὶ ὅσα ἐν τοῖς πεδίοις νέμεται, ξύμπασι παρῆν. ἀλλ᾽ ἦν καὶ τοῦτο κατὰ ταὐτὰ τῷ ζώῳ μεγίστῳ πεφυκότι καὶ πολυβορωτάτῳ. πρὸς δὴ τούτοις, ὅσα εὐώδη τρέφει που γῆ τανῦν, ῥιζῶν, ἢ χλόης, ἢ ξύλων, ἢ χυλῶν, ἢ στακτῶν, εἴτε ἀνθῶν, εἴτε καρπῶν, ἔφερέ τε ταῦτα καὶ ἔφερβεν εὖ. ἔτι δὲ τὸν ἥμερον καρπὸν, τόν τε ξηρὸν, ὃς ἡμῖν ἐστι τροφῆς ἕνεκα, καὶ ὅσοις χάριν τοῦ σίτου προσχρώ-

μεθα (καλοῦμεν δὲ αὐτοῦ τὰ μέρη ξύμπαντα, ὄσπρια) καὶ τὸν ὅσος ξύλινος, πόματα καὶ βρώματα καὶ ἀλείμματα φέρων· παιδιᾶς τε ὃς ἕνεκα καὶ ἡδονῆς γέγονε δυσθησαύριστος ἀκροδρύων καρπός· ὅσά τε παραμύθια πλησμονῆς μεταδόρπια ἀγαπητὰ κάμνοντι τιθέμενα· πάντα ταῦτα ἡ τότε ποτὲ οὖσα ὑφ' ἡλίῳ νῆσος ἱερὰ καλά τε καὶ θαυμαστὰ καὶ πλήθεσιν ἄπειρα ἔφερε. ταῦτα οὖν λαμβάνοντες πάντα παρὰ τῆς γῆς, κατεσκευάζοντο τά τε ἱερὰ καὶ τὰς βασιλικὰς οἰκήσεις, καὶ τοὺς λιμένας καὶ τὰ νεώρια, καὶ ξύμπασαν τὴν ἄλλην χώραν, τοιᾷδε ἐν τάξει διακοσμοῦντες· τοὺς τῆς θαλάττης τροχοὺς, οἳ περὶ τὴν ἀρχαίαν ἦσαν μετρόπολιν, πρῶτον μὲν ἐγεφύρωσαν, ὁδὸν ἔξω καὶ ἐπὶ τὰ βασίλεια ποιούμενοι. τὰ δὲ βασίλεια ἐν ταύτῃ τῇ τοῦ θεοῦ καὶ τῶν προγόνων κατοικήσει κατ' ἀρχὰς ἐποιήσαντο εὐθύς· ἕτερος δὲ παρ' ἑτέρου δεχόμενος, κεκοσμημένα κοσμῶν, ὑπερεβάλλετο εἰς δύναμιν ἀεὶ τοῦ ἔμπροσθεν, ἕως εἰς ἔκπληξιν μεγέθεσι κάλλεσί τε ἔργων ἰδεῖν τὴν οἴκησιν ἀπειργάσαντο. διώρυχα μὲν γὰρ ἐκ τῆς θαλάττης ἀρχόμενοι τρίπλεθρον τὸ πλάτος, ἑκατὸν δὲ ποδῶν βάθος, μῆκος δὲ, πεντήκοντα σταδίων, ἐπὶ τὸν ἐξωτάτω τροχὸν συνέτρησαν. καὶ τὸν ἀνάπλουν ἐκ τῆς θαλάττης ταύτης πρὸς ἐκεῖνον ὡς εἰς λιμένα ἐποιήσαντο, διελόντες στόμα ναυσὶ ταῖς μεγίσταις ἱκανὸν εἰσπλεῖν. καὶ δὴ καὶ τοὺς τῆς γῆς τροχοὺς, οἳ τοὺς τῆς θαλάττης διεῖργον, κατὰ τὰς γεφύρας διεῖλον ὅσον μιᾷ τριήρει διέκπλουν εἰς ἀλλήλους· καὶ κατεστέγασαν ἄνωθεν, ὥστε τὸν ὑπόπλουν κάτωθεν εἶναι. τὰ γὰρ τῶν τῆς γῆς τροχῶν

κοδομήσεις καὶ δένδρων φυτεύσεις πρεπούσας ὕδατι· δεξαμενάς τε θερμὰς μὲν ὑπαιθρίους, τὰς δὲ χειμερινὰς τοῖς θερμοῖς λουτροῖς ὑποστέγους περιτιθέντες· χωρὶς μὲν, βασιλικάς, χωρὶς δέ, ἰδιωτικάς· ἔτι δὲ γυναιξὶν ἄλλας, καὶ ἑτέρας ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις, τὸ πρόσφορον τῆς κοσμήσεως ἑκάστοις ἀπονέμοντες. τὸ δὲ ἀποῤῥέον ἦγον ἐπὶ τὸ τοῦ Ποσειδῶνος ἄλσος, δένδρα δὲ παντοδαπὰ κάλλος ὕψος τε δαιμόνιον ὑπὸ ἀρετῆς τῆς γῆς ἔχοντα· καὶ ἐπὶ τοὺς ἔξω κύκλους δι' ὀχετῶν κατὰ τὰς γεφύρας ἐπωχέτευον. οὗ δὴ πολλὰ μὲν ἱερὰ καὶ πολλῶν θεῶν, πολλοὶ δὲ κῆποι καὶ πολλὰ γυμνάσια ἐκεχειρούργητο, τὰ μὲν, ἀνδρῶν, τὰ δέ, ἵππων, χωρὶς ἐν ἑκατέρᾳ τῇ τῶν τροχῶν νήσῳ. τά τε ἄλλα καὶ κατὰ μέσην τὴν μείζω τῶν νήσων ἐξῃρημένος ἱππόδρομος ἦν αὐτοῖς, σταδίου τὸ πλάτος ἔχων, τὸ δὲ μῆκος περὶ τὸν κύκλον ὅλον ἀφεῖτο εἰς ἅμιλλαν τοῖς ἵπποις. δορυφορικαὶ δὲ περὶ αὐτὸν ἔνθέν τε καὶ ἔνθεν οἰκήσεις ἦσαν τῷ πλήθει τῶν δορυφόρων· τοῖς δὲ πιστοτέροις ἐν τῷ σμικροτέρῳ τροχῷ καὶ πρὸ τῆς ἀκροπόλεως μᾶλλον ὄντι διετέτακτο ἡ φρουρά· τοῖς δὲ πάντων διαφέρουσι πρὸς πίστιν, ἐντὸς τῆς ἀκροπόλεως περὶ τοὺς βασιλέας αὐτοὺς ἦσαν οἰκήσεις δεδομέναι. τὰ δὲ νεώρια, τριήρων μεστὰ ἦν, καὶ σκευῶν ὅσα τριήρεσι προσήκει· πάντα δὲ ἐξηρτημένα ἱκανῶς. καὶ τὰ μὲν δὴ περὶ τὴν τῶν βασιλέων οἴκησιν οὕτω κατεσκεύαστο. διαβάντι δὲ τοὺς λιμένας ἔξω τρεῖς ὄντας, ἀρξάμενον ἀπὸ τῆς θαλάττης ἦν ἐν κύκλῳ τεῖχος, πεντήκοντα σταδίους τοῦ μεγίστου τροχοῦ τε καὶ

λιμένος ἀπέχον πανταχῇ, καὶ συνέκλειεν εἰς ταὐτὸ πρὸς τὸ τῆς διώρυχος στόμα τὸ πρὸς τὸ θαλάττης. τοῦτο δὴ πᾶν συνῴκει τὸ μὲν ὑπὸ πολλῶν καὶ πυκνῶν οἰκήσεων· ὁ δὲ ἀνάπλους καὶ ὁ μέγιστος λιμὴν ἔγεμε πλοίων καὶ ἐμπόρων ἀφικνουμένων πάντοθεν, φωνὴν καὶ θόρυβον παντοδαπὸν κτύπον τε καὶ μεθ' ἡμέραν καὶ διὰ νυκτὸς ὑπὸ πλήθους παρεχομένων. τὸ μὲν οὖν ἄστυ καὶ τὸ περὶ τὴν ἀρχαίαν οἴκησιν, σχεδὸν ὡς τότ' ἐλέχθη, νῦν διεμνημόνευται· τῆς δ' ἄλλης χώρας ὡς ἡ φύσις εἶχε, καὶ τὸ τῆς διακοσμήσεως εἶδος ἀπομνημονεῦσαι πειρατέον. πρῶτον μὲν οὖν ὁ τόπος ἅπας ἐλέγετο σφόδρα τε ὑψηλὸς καὶ ἀπότομος ἐκ θαλάττης· τὸ δὲ περὶ τὴν πόλιν πᾶν πεδίον, ἐκείνην μὲν περιέχον, αὐτὸ δὲ ἐν κύκλῳ περιεχόμενον ὄρεσι μέχρι πρὸς τὴν θάλατταν καθημένοις, λεῖον καὶ ὁμαλές· πρόμηκες δὲ πᾶν, ἐπὶ μὲν θάτερα, τρισχιλίων σταδίων· κατὰ δὲ μέσον, ἀπὸ θαλάττης ἄνω δισχιλίων. ὁ δὲ τόπος οὗτος ὅλης τῆς νήσου πρὸς νότον ἐτέτραπτο, ἀπὸ τῶν ἄκρων κατάβοῤῥος. τὰ δὲ περὶ αὐτὸν ὄρη τότε ὕμνει τὸ πλῆθος καὶ μέγεθος καὶ κάλλος παρὰ πάντα τὰ νῦν ὄντα γεγονέναι· πολλὰς μὲν κώμας καὶ πλουσίας περιοίκων ἐν ἑαυτοῖς ἔχοντα, ποταμοὺς δὲ, καὶ λίμνας, καὶ λειμῶνας, τροφὴν τοῖς πᾶσιν ἡμέροις καὶ ἀγρίοις ἱκανὴν θρέμμασιν, ὕλην καὶ πλήθει καὶ γένεσι ποικίλην, ξύμπασί τε τοῖς ἔργοις καὶ πρὸς ἕκαστα ἄφθονον. ὧδε οὖν τὸ πεδίον φύσει καὶ ὑπὸ βασιλέων πολλῶν ἐν πολλῷ χρόνῳ διεπεπόνητο. τετράγωνον μὲν αὐτὸ ὑπῆρχε, τὰ πλεῖστ' ὀρθὸν καὶ πρόμηκες· ὅτι δ' ἐνε-

λην προσαγαγόντες, κατὰ κορυφὴν αὐτῆς ἔσφαττον κατὰ τῶν γραμμάτων. ἐν δὲ τῇ στήλῃ πρὸς τοῖς νόμοις ὅρκος ἦν, μεγάλας ἀρὰς ἐπευχόμενος τοῖς ἀπειθοῦσιν. ὅτ᾽ οὖν κατὰ τοὺς αὐτῶν νόμους θύσαντες καθαγίζοιεν πάντα τοῦ ταύρου τὰ μέλη, κρατῆρα κεράσαντες, ὑπὲρ ἑκάστου θρόμβον ἐνέβαλλον αἵματος· τὰ δ᾽ ἄλλ᾽ εἰς τὸ πῦρ ἔφερον, περικαθήραντες τὴν στήλην. μετὰ δὲ τοῦτο, χρυσαῖς φιάλαις ἐκ τοῦ κρατῆρος ἀρυόμενοι, κατὰ τοῦ πυρὸς σπένδοντες ἐπώμνυσαν, δικάσειν τε κατὰ τοὺς ἐν τῇ στήλῃ νόμους, καὶ κολάσειν τε εἴτις τὶ πρότερον παραβεβηκὼς εἴη, τό, τε αὖ μετὰ τοῦτο μηδὲν τῶν γραμμάτων ἑκόντες παραβήσεσθαι· μηδὲ ἄρξειν, μηδὲ ἄρχοντι πείσεσθαι, πλὴν κατὰ τοὺς τοῦ πατρὸς ἐπιτάττοντι νόμους. ταῦτα δὲ ἐπευξάμενος ἕκαστος αὐτῶν ἑαυτῷ καὶ τῷ ἀφ᾽ αὑτοῦ γένει, πιὼν, καὶ ἀναθεὶς τὴν φιάλην εἰς τὸ ἱερὸν τοῦ θεοῦ, περὶ τὸ δεῖπνον καὶ τἀναγκαῖα διέτριψεν. ἐπεὶ δὲ ἐγίγνετο σκότος, καὶ τὸ πῦρ ἐψυγμένον τὸ περὶ τὰ θύματα εἴη, πάντες οὕτως ἐνδύντες ὅτι καλλίστην κυανῆν στολὴν, ἐπὶ τὰ τῶν ὁρκωμοσιῶν καύματα χαμαὶ καθίζοντες, νύκτωρ πᾶν τὸ περὶ τὸ ἱερὸν ἀποσβεννύντες πῦρ, ἐδικάζοντό τε καὶ ἐδίκαζον, εἴτις τὶ παραβαίνειν αὐτῶν αἰτιῷτο τινά. δικάσαντες δὲ, τὰ δικασθέντα, ἐπειδὴ φῶς γένοιτο, ἐν χρυσῷ πίνακι γράψαντες, μετὰ τῶν στολῶν μνημεῖα ἀνετίθεσαν. νόμοι δὲ, πολλοὶ μὲν ἄλλοι περὶ τὰ ἱερὰ τῶν βασιλέων ἑκάστων ἦσαν ἴδιοι· τὰ δὲ μέγιστα, μήτε ποτὲ ὅπλα ἐπ᾽ ἀλλήλοις οἴσειν, βοηθήσειν τε πάντας, ἄν πού τὶς αὐτῶν ἔν τινι πόλει

τὸ βασιλικὸν καταλύειν ἐπιχειρῇ γένος. κοινῇ δὲ, καθάπερ οἱ πρόσθεν, βουλευόμενοι τὰ δόξαντα περὶ πολέμου καὶ τῶν ἄλλων πράξεων, ἡγεμονίαν ἀποδιδόντες τῷ Ἀτλαντικῷ γένει. θανάτου δὲ τὸν βασιλέα τῶν συγγενῶν μηδενὸς εἶναι κύριον, ἂν μὴ τῶν δέκα τοῖς ὑπερήμισυ δοκῇ. ταύτῃ δὴ τοσαύτην καὶ τοιαύτην δύναμιν ἐν ἐκείνοις τότε οὖσαν τοῖς τόποις ὁ θεὸς ἐπὶ τούσδε αὖτοὺς τόπους ξυντάξας, ἐκόμισεν ἔκ τινος τοιᾶσδε, ὡς λόγος, προφάσεως· ἐπὶ πολλὰς μὲν γενεὰς, μέχρι περ ἡ τοῦ θεοῦ φύσις αὐτοῖς ἐξήρκει, κατήκοοί τε ἦσαν τῶν νόμων, καὶ πρὸς τὸ ξυγγενὲς θεῖον ὂν φιλοφρόνως εἶχον. τὰ γὰρ φρονήματα ἀληθινὰ καὶ πάντῃ μεγάλα ἐκέκτηντο, πρᾳότητι μετὰ φρονήσεως πρός τε τὰς ἀεὶ ξυμβαινούσας τύχας καὶ πρὸς ἀλλήλους χρώμενοι. διὸ, πλὴν ἀρετῆς πάντα ὑπερορῶντες, σμικρὰ ἡγοῦντο τὰ παρόντα, καὶ ῥᾳδίως ἔφερον, οἷον ἄχθος, τὸν τοῦ χρυσοῦ τε καὶ τῶν ἄλλων κτημάτων ὄγκον· ἀλλ᾽ οὐ μεθύοντες ὑπὸ τρυφῆς, οὐδ᾽ ὑπὸ τοῦ ἀκράτου ἀβλυώττοντες ἐσφάλλοντο· νήφοντες δὲ, ὀξὺ καθεώρων ὅτι καὶ ταῦτα πάντα ἐκ τῆς φιλίας τῆς κοινῆς μετὰ ἀρετῆς αὐξάνεται, τῇ δὲ τούτων σπουδῇ καὶ τῇ τιμῇ φθίνει ταῦτά τε αὐτὰ, κᾀκείνη ξυναπόλλυται τούτοις. ἐκ δὴ λογισμοῦ τε τοιούτου καὶ φύσεως θείας παραμενούσης πάντ᾽ αὐτῆς ηὐξήθη ἃ πρὶν διήλθομεν. ἐπεὶ δ᾽ ἡ τοῦ θεοῦ μὲν μοῖρα ἐξίτηλος ἐγίγνετο ἐν αὐτοῖς, πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀνακεραννυμένη, τὸ δὲ ἀνθρώπινον ἦθος ἐπεκράτει, τότε ἤδη τὰ παρόντα φέρειν ἀδυναμοῦντες ἠσχημόνουν, καὶ τῷ δυνα-

μένῳ ὁρᾷν μὲν αἰσχροὶ κατεφαίνοντο, τὰ κάλλιστα ἀπὸ τῶν τιμιωτάτων ἀπολλύντες· τοῖς δὲ ἀδυνατοῦσιν ἀληθινὸν πρὸς εὐδαιμονίαν βίον ὁρᾷν, τότε δὴ μάλιστα πάγκαλοι μακάριοί τε ἐδοξάζοντο εἶναι, πλεονεξίας ἀδίκου καὶ δυνάμεως ἐμπιπλάμενοι. Θεὸς δὲ ὁ θεῶν Ζεὺς, ἐννόμοις βασιλεύων, ἅτε δυνάμενος καθορᾷν τὰ τοιαῦτα, ἐννοήσας γένος ἐπιεικὲς ἀθλίως διατιθέμενον, δίκην αὐτοῖς ἐπιθεῖναι βουληθεὶς, ἵνα γένοιντο ἐμμελέστεροι σωφρονισθέντες, ξυνήγειρε θεοὺς πάντας εἰς τὴν τιμιωτάτην αὐτῶν οἴκησιν, ἣ δὴ κατὰ μέσον παντὸς τοῦ κόσμου βεβηκυῖα, καθορᾷ πάντα ὅσα γενέσεως μετείληφε· καὶ ξυναγείρας εἶπεν,

Λείπει τὸ τέλος.

ΠΑΡΜΕΝΙΔΗΣ
Η
ΠΕΡΙ ΙΔΕΩΝ.

ΤΑ ΤΟΥ
ΔΙΑΛΟΓΟΥ ΠΑΡΜΕΝΙΔΟΥ ΠΡΟΣΩΠΑ
ΚΕΦΑΛΟΣ, ΑΔΕΙΜΑΝΤΟΣ, ΑΝΤΙΦΩΝ,
ΓΛΑΥΚΩΝ, ΠΥΘΟΔΩΡΟΣ, ΣΩΚΡΑΤΗΣ,
ΖΗΝΩΝ, ΠΑΡΜΕΝΙΔΗΣ.

ΕΠΕΙΔΗ Ἀθήναζε οἴκοθεν ἐκ Κλαζομενῶν ἀφικόμεθα, κατ᾽ ἀγορὰν ἐνετύχομεν Ἀδειμάντῳ τε καὶ Γλαύκωνι· καί μου λαβόμενος τῆς χειρὸς ὁ Ἀδείμαντος, Χαῖρ᾽, ἔφη, ὦ Κέφαλε· καὶ εἴ του δέῃ τῶν τῇδε, ὧν ἡμεῖς δυνατοὶ, φράζε. Ἀλλὰ μὲν δὴ, εἶπον ἐγὼ, πάρειμί γε ἐπ᾽ αὐτὸ τοῦτο, δεησόμενος ὑμῶν. Λέγοις ἂν, ἔφη, τὴν δέησιν. Καὶ ἐγὼ εἶπονέ· Τῷ ἀδελφῷ ὑμῶν τῷ ὁμομητρίῳ τί ἦν ὄνομα; οὐ γὰρ μέμνημαι· παῖς δέ που ἦν ὅτε τοπρότερον ἐπεδήμησα δεῦρο ἐκ Κλαζομενῶν. πολὺς δὲ ἤδη χρόνος ἐξ ἐκείνου. τῷ μὲν γὰρ πατρὶ, δοκῶ, Πυριλάμπης ὄνομα.

Πάνυ γε, ἔφη· αὐτῷ δέ γε, Ἀντιφῶν. ἀλλὰ τί μάλιστα πυνθάνῃ; Οἶδ', εἶπον ἐγὼ, πολῖταί τι μοὶ εἰσὶ, μάλα φιλόσοφοι, ἀκηκόασί τε ὅτι οὗτος ὁ Ἀντιφῶν Πυθοδώρῳ τινὶ Ζήνωνος ἑταίρῳ πολλὰ ἐντετύχηκε· καὶ τοὺς λόγους, οὓς ποτε Σωκράτης καὶ Ζήνων καὶ Παρμενίδης διελέχθησαν, πολλάκις ἀκούσας τοῦ Πυθοδώρου, ἀπομνημονεύει. Ἀληθῆ, ἔφη, λέγεις. Τούτων τοίνυν, εἶπον, δεόμεθα ἀκοῦσαι. Ἀλλ' οὐ χαλεπὸν, ἔφη. μειράκιον γὰρ ὢν αὐτοὺς εὖ μάλα διεμελέτησεν. ἐπεὶ νῦν γε κατὰ τὸν πάππον τε καὶ ὁμώνυμον πρὸς ἱππικῇ ταπολλὰ διατρίβει. ἀλλ' εἰ δεῖ, ἴωμεν παρ' αὐτόν. ἄρτι γὰρ ἐνθένδε οἴκαδε οἴχεται· οἰκεῖ δὲ ἐγγὺς ἐν Μελίτῃ. Ταῦτα εἰπόντες, ἐβαδίζομεν· καὶ κατελάβομεν τὸν Ἀντιφῶντα οἴκοι, χαλινόν τινα χαλκεῖ ἐκδιδόντα σκευάσαι. ἐπειδὴ δὲ ἐκείνου ἀπηλλάγη, οἵ τε ἀδελφοὶ ἔλεγον αὐτῷ ὧν ἕνεκα παρεῖημεν, ἀνεγνώρισέ τέ με ἐκ τῆς προτέρας ἐπιδημίας, καὶ ἠσπάζετο. καὶ δεομένων ἡμῶν διελθεῖν τοὺς λόγους, τὸ μὲν πρῶτον ὤκνει· (πολὺ γὰρ ἔφη ἔργον εἶναι) ἔπειτα μέντοι διηγεῖτο. ἔφη δὲ δὴ ὁ Ἀντιφῶν λέγειν τὸν Πυθόδωρον ὅτι ἀφίκοντο ποτὲ εἰς Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Παρμενίδης. τὸν μὲν οὖν Παρμενίδην, εὖ μάλα ἤδη πρεσβύτην εἶναι, σφόδρα πολιὸν, καλὸν δὲ καὶ ἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ, ἐγγὺς ἐτῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ, καὶ χαρίεντα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. καταλύειν δὲ αὐτοὺς ἔφη παρὰ τῷ Πυθοδώρῳ, ἐκτὸς τείχους, ἐν

Κεραμεικῷ· οἷ δὴ καὶ ἀφικέσθαι τόν τε Σωκράτη, καὶ ἄλλους τινὰς μετ᾽ αὐτοῦ πολλούς, ἐπιθυμοῦντας ἀκοῦσαι τῶν τοῦ Ζήνωνος γραμμάτων. τότε γὰρ αὐτὰ πρῶτον ὑπ᾽ ἐκείνων κομισθῆναι. Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον. ἀναγινώσκειν οὖν αὐτοῖς τὸν Ζήνωνα αὐτόν· τὸν δὲ Παρμενίδην τυχεῖν ἔξω ὄντα, καὶ εἶναι πάνυ βραχὺ ἔτι λοιπὸν τῶν λόγων ἀναγινωσκομένων, ἡνίκα αὐτός τε ἐπεισελθεῖν ἔφη ὁ Πυθόδωρος ἔξωθεν, καὶ τὸν Παρμενίδην μετ᾽ αὐτοῦ, καὶ Ἀριστοτέλη, τὸν τῶν τριάκοντα γενόμενον· καὶ σμίκρ᾽ ἄττα ἔτι ἐπακοῦσαι τῶν γραμμάτων. οὐ μὴν αὐτός γε ἀλλὰ καὶ πρότερον ἀκηκοέναι τοῦ Ζήνωνος. Τὸν οὖν Σωκράτη ἀκούσαντα, πάλιν τε κελεῦσαι τὴν πρώτην ὑπόθεσιν τοῦ πρώτου λόγου ἀναγνῶναι· καὶ ἀναγκωσθείσης, Πῶς, φάναι, ὦ Ζήνων, τοῦτο λέγεις; εἰ πολλά ἐστι τὰ ὄντα, ὡς ἄρα δεῖ αὐτὰ ὅμοιά τε εἶναι καὶ ἀνόμοια; τοῦτο δὲ ἀδύνατον. οὔτε γὰρ τὰ ἀνόμοια, ὅμοια, οὔτε τὰ ὅμοια, ἀνόμοια οἷόντε εἶναι. οὐχ οὕτω λέγεις; Οὕτω, φάναι τὸν Ζήνωνα. Οὐκοῦν, εἰ ἀδύνατον τά τε ἀνόμοια ὅμοια εἶναι, καὶ τὰ ὅμοια, ἀνόμοια, ἀδύνατον δὴ καὶ πολλὰ εἶναι; εἰ γὰρ πολλὰ εἴη, πάσχοι ἂν τὰ ἀδύνατα. ἆρα τοῦτό ἐστιν ὃ βούλονταί σου οἱ λόγοι; οὐκ ἄλλό τι ἢ διαμάχεσθαι παρὰ πάντα τὰ λεγόμενα, ὡς οὐ πολλά ἐστι; καὶ τούτου αὐτοῦ οἴει σοι τεκμήριον εἶναι ἕκαστον τῶν λόγων; ὥστε καὶ ἡγῇ τοσαῦτα τεκμήρια παρέχεσθαι, ὅσους περ λόγους γέγραφας, ὡς οὐκ ἔστι πολλά; οὕτως λέγεις, ἢ ἐγὼ οὐκ ὀρθῶς καταμανθάνω; Οὔκ· ἀλλὰ, φάναι τὸν Ζήνωνα, καλῶς

[illegible] τὸ γ[illegible] ὁ Παρμενίδης, [illegible]
[illegible] Ζήνωνα, [illegible] φιλίᾳ βούλεται
[illegible] τῇ ἄλλῃ σου [illegible] ταὐτὸν
[illegible] τῷ συγγράμματι. [illegible] μεταβάλλων δὲ
[illegible] ἕτερόν τι λέγων. σὺ
[illegible] εἶναι τὸ πᾶν, καὶ
[illegible] καλῶς γε καὶ εὖ· ὅδε δὲ
[illegible] τεκμήρια δὲ καὶ αὐτὸς
[illegible] τὸ οὖν τὸν [illegible]

[illegible]

λά ἐστιν, ἢ ἡ τοῦ ἓν εἶναι, εἴτις ἱκανῶς ἐπεξίοι. δια τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν. ὥστε οὐδὲ ἐμὲ βουλεύσασθαι ἐξεγένετο εἴτ' ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς, εἴτε μή. ταύτῃ οὖν σε λανθάνει, ὦ Σώκρατες, ὅτι οὐχ ὑπὸ νέου φιλονεικίας οἴει αὐτὸ γεγράφθαι, ἀλλ' ὑπὸ πρεσβυτέρου φιλοτιμίας. ἐπεὶ ὅπερ γ' εἶπον, οὐ κακῶς ἀπείκασας. Ἀλλ' ἀποδέχομαι, φάναι τὸν Σωκράτην, καὶ ἡγοῦμαι ὡς λέγεις ἔχειν. τόδε δέ μοι εἰπέ· οὐ νομίζεις εἶναι αὐτὸ καθ' αὑτὸ εἶδός τι ὁμοιότητος, καὶ τῷ τοιούτῳ αὖ ἄλλό τι ἐναντίον, ὅ ἐστιν ἀνόμοιον; τούτοιν δὲ δυοῖν ὄντοιν, καὶ ἐμὲ καί σε, καὶ τὰ ἄλλα, ἃ δὴ πολλὰ καλοῦμεν, μεταλαμβάνειν; καὶ τὰ μὲν τῆς ὁμοιότητος μεταλαμβάνοντα, ὅμοια γίγνεσθαι ταύτῃ τε καὶ κατὰ τοσοῦτον ὅσον ἂν μεταλαμβάνοι; τὰ δὲ τῆς ἀνομοιότητος, ἀνόμοια; τὰ δὲ ἀμφοτέρων, ἀμφότερα; εἰ δὲ καὶ πάντα ἐναντίων ὄντων ἀμφοτέρων μεταλαμβάνει, καὶ ἔστι, τῷ μετέχειν ἀμφοῖν, ὅμοιά τε καὶ ἀνόμοια αὐτὰ αὑτοῖς, τί θαυμαστόν; εἰ μὲν γὰρ αὐτὰ τὰ ὅμοια τὶς ἀπέφαινεν ἀνόμοια γιγνόμενα, ἢ τὰ ἀνόμοια ὅμοια, τέρας ἄν, οἶμαι, ἦν· εἰ δὲ τὰ τούτων μετέχοντα ἀμφοτέρων, ἀμφότερα ἀποφαίνει πεπονθότα, οὐδὲν ἔμοιγε, ὦ Ζήνων, ἄτοπον δοκεῖ· οὐδέ γε εἰ ἓν ἅπαντα ἀποφαίνει τὶς, τῷ μετέχειν τοῦ ἑνὸς, καὶ ταὐτὰ ταῦτα, πολλά, τῷ πλήθους αὖ μετέχειν· ἀλλ' εἰ ὅ ἐστιν ἕν, αὐτὸ τοῦτο πολλὰ ἀποδείξει, καὶ αὖ τὰ πολλὰ δὴ, ἕν, τοῦτο ἤδη θαυμάσομαι. καὶ περὶ τῶν ἄλλων ἁπάντων ὡσαύτως· εἰ μὲν αὐτὰ τὰ γένη τε καὶ εἴδη

συνῆκας ὅλον τὸ γράμμα ὃ βούλεται. Μανθάνω, εἰπεῖν τὸν Σωκράτην, ὦ Παρμενίδη, ὅτι Ζήνων ὅδε οὐ μόνον τῇ ἄλλῃ σοῦ φιλίᾳ βούλεται ᾠκειῶσθαι, ἀλλὰ καὶ τῷ συγγράμματι. ταὐτὸν γὰρ γέγραφε τρόπον τινὰ ὅπερ σύ. μεταβαλὼν δὲ ἡμᾶς πειρᾶται ἐξαπατᾷν, ὡς ἕτερόν τι λέγων. σὺ μὲν γὰρ ἐν τοῖς ποιήμασιν ἓν φῂς εἶναι τὸ πᾶν, καὶ τούτων τεκμήρια παρέχῃ, καλῶς γε καὶ εὖ· ὅδε δὲ αὖ οὐ πολλά φησιν εἶναι, τεκμήρια δὲ καὶ αὐτὸς πάμπολλα καὶ παμμεγέθη παρέχεται. τὸ οὖν τὸν μὲν, ἓν φάναι, τὸν δὲ, μὴ πολλὰ, καὶ οὕτως ἑκάτερον λέγειν ὥστε μηδὲν τῶν αὐτῶν εἰρηκέναι δοκεῖν, σχεδόν τι λέγοντας ταὐτὰ, ὑπὲρ ἡμᾶς τοὺς ἄλλους φαίνεται ἡμῖν τὰ εἰρημένα εἰρῆσθαι. Ναὶ, φάναι τὸν Ζήνωνα, ὦ Σώκρατες. σὺ δ᾽ οὖν τὴν ἀλήθειαν τοῦ γράμματος οὐ πανταχοῦ ᾔσθησαι. καίτοι ὥσπερ γε αἱ Λάκαιναι σκύλακες, εὖ μεταθεῖς τε καὶ ἰχνεύεις τὰ λεχθέντα. ἀλλὰ πρῶτον μέν σε τοῦτο λανθάνει, ὅτι οὐ παντάπασιν οὕτω σεμνύνεται τὸ γράμμα, ὥστε ἅπερ σὺ λέγεις διανοηθὲν γραφῆναι, τοὺς ἀνθρώπους δὲ ἐπικρυπτόμενον, ὥς τι μέγα διαπραττόμενον· ἀλλὰ σὺ μὲν εἶπες τῶν συμβεβηκότων τὶ, ἔστι δὲ τόγε ἀληθὲς, βοήθειά τις ταῦτα τὰ γράμματα τῷ Παρμενίδου λόγῳ, πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς εἰ ἕν ἐστι πολλὰ, καὶ γελοῖα συμβαίνει πάσχειν τῷ λόγῳ, καὶ ἐναντία αὐτῷ. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς τοὺς τὰ πολλὰ λέγοντας, καὶ ἀνταποδίδωσι ταῦτα καὶ πλείω· τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, ἡ, εἰ πολ

λά ἐστιν, ἢ ἡ τοῦ ἓν εἶναι, εἴτις ἱκανῶς ἐπεξίοι. δια τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν. ὥστε οὐδὲ ἐμὲ βουλεύσασθαι ἐξεγένετο εἴτ' ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς, εἴτε μή. ταύτῃ οὖν σε λανθάνει, ὦ Σώκρατες, ὅτι οὐχ ὑπὸ νέου φιλονεικίας οἴει αὐτὸ γεγράφθαι, ἀλλ' ὑπὸ πρεσβυτέρου φιλοτιμίας. ἐπεὶ ὅπερ γ' εἶπον, οὐ κακῶς ἀπείκασας. Ἀλλ' ἀποδέχομαι, φάναι τὸν Σωκράτην, καὶ ἡγοῦμαι ὡς λέγεις ἔχειν. τόδε δέ μοι εἰπέ· οὐ νομίζεις εἶναι αὐτὸ καθ' αὑτὸ εἶδός τι ὁμοιότητος, καὶ τῷ τοιούτῳ αὖ ἄλλό τι ἐναντίον, ὅ ἐστιν ἀνόμοιον; τούτοιν δὲ δυοῖν ὄντοιν, καὶ ἐμὲ καί σε, καὶ τὰ ἄλλα, ἃ δὴ πολλὰ καλοῦμεν, μεταλαμβάνειν; καὶ τὰ μὲν τῆς ὁμοιότητος μεταλαμβάνοντα, ὅμοια γίγνεσθαι ταύτῃ τε καὶ κατὰ τοσοῦτον ὅσον ἂν μεταλαμβάνοι; τὰ δὲ τῆς ἀνομοιότητος, ἀνόμοια; τὰ δὲ ἀμφοτέρων, ἀμφότερα; εἰ δὲ καὶ πάντα ἐναντίων ὄντων ἀμφοτέρων μεταλαμβάνει, καὶ ἔστι, τῷ μετέχειν ἀμφοῖν, ὅμοιά τε καὶ ἀνόμοια αὐτὰ αὑτοῖς, τί θαυμαστόν; εἰ μὲν γὰρ αὐτὰ τὰ ὅμοιά τις ἀπέφαινεν ἀνόμοια γιγνόμενα, ἢ τὰ ἀνόμοια ὅμοια, τέρας ἂν, οἶμαι, ἦν· εἰ δὲ τὰ τούτων μετέχοντα ἀμφοτέρων, ἀμφότερα ἀποφαίνει πεπονθότα, οὐδὲν ἔμοιγε, ὦ Ζήνων, ἄτοπον δοκεῖ· οὐδέ γε εἰ ἓν ἅπαντα ἀποφαίνει τὶς, τῷ μετέχειν τοῦ ἑνὸς, καὶ ταὐτὰ ταῦτα, πολλὰ, τῷ πλήθους αὖ μετέχειν· ἀλλ' εἰ ὃ ἐστιν ἓν, αὐτὸ τοῦτο πολλὰ ἀποδείξει, καὶ αὖ τὰ πολλὰ δὴ, ἓν, τοῦτο ἤδη θαυμάσομαι. καὶ περὶ τῶν ἄλλων ἁπάντων ὡσαύτως· εἰ μὲν αὐτὰ τὰ γένη τε καὶ εἴδη

ἐν αὐτοῖς ἀποφαίνοι τἀναντία ταῦτα πάθη πάσχοντα, ἄξιον θαυμάζειν· εἰ δέ με ἕν τις ἀποδείξει ὄντα καὶ πολλά, τί θαυμαστόν; λέγων, ὅταν μὲν βούληται πολλὰ ἀποφαίνειν, ὡς ἕτερα μὲν τὰ ἐπὶ δεξιᾷ μού ἐστιν, ἕτερα δὲ τὰ ἐπ᾽ ἀριστερᾷ· καὶ ἕτερα μὲν τὰ πρόσθεν, ἕτερα δὲ τὰ ὄπισθεν· καὶ ἄνω καὶ κάτω ὡσαύτως· (πλήθους γάρ, οἶμαι, μετέχω) ὅταν δὲ ἕν, ἐρεῖ ὡς ἑπτὰ ἡμῶν ὄντων εἷς ἐγὼ εἰμι ἄνθρωπος, μετέχων καὶ τοῦ ἑνός. ὥστε ἀληθῆ ἀποφαίνοι ἀμφότερα. ἐὰν οὖν τις τοιαῦτα ἐπιχειρῇ πολλὰ καὶ ἓν ταὐτὰ ἀποφαίνειν, λίθους καὶ ξύλα, καὶ τὰ τοιαῦτα· φήσομεν αὐτὸν πολλὰ καὶ ἓν ἀποδεικνύναι, οὐ τὸ ἓν πολλά, οὐδὲ τὰ πολλὰ ἕν· οὐδέ τι θαυμαστὸν λέγειν, ἀλλ᾽ ἅπερ ἂν πάντες ὁμολογῶμεν. ἐὰν δέ τις ὧν νῦν δὴ ἐγὼ ἔλεγον, πρῶτον μὲν διαιρῆται χωρὶς αὐτὰ καθ᾽ αὑτὰ τὰ εἴδη, οἷον ὁμοιότητά τε καὶ ἀνομοιότητα, καὶ πλῆθος καὶ τὸ ἕν, καὶ στάσιν καὶ κίνησιν, καὶ πάντα τὰ τοιαῦτα· εἶτα ἐν ἑαυτοῖς ταῦτα δυνάμενα συγκεράννυσθαι καὶ διακρίνεσθαι ἀποφαίνῃ, ἀγαίμην ἂν ἔγωγ᾽, ἔφη, θαυμαστῶς, ὦ Ζήνων. ταῦτα δὲ ἀνδρείως μὲν πάνυ ἡγοῦμαι πεπραγματεῦσθαι· πολὺ μέντ᾽ ἂν ὧδε μᾶλλον, ὡς λέγω, ἀγασθείην, εἴτις ἔχοι τὴν αὐτὴν ταύτην ἀπορίαν, ἐν αὐτοῖς τοῖς εἴδεσι παντοδαπῶς πλεκομένην, ὥσπερ ἐν τοῖς ὁρωμένοις διήλθετε, οὕτω καὶ ἐν τοῖς λογισμῷ λαμβανομένοις ἐπιδεῖξαι. Λέγοντος δή, ἔφη ὁ Πυθόδωρος, τοῦ Σωκράτους ταῦτα, αὐτὸς μὲν οἴεσθαι ἐφ᾽ ἑκάστου ἄχθεσθαι τόν τε Παρμενίδην καὶ τὸν Ζήνωνα· τοὺς δὲ πάνυ γε αὐτῷ προσέχειν τὸν

νοῦν, καὶ θαμὰ εἰς ἀλλήλους βλέποντας μειδιᾷν, ὡς ἀγαμένους τὸν Σωκράτην. ὅπερ οὖν καὶ παυσαμένου αὐτοῦ εἰπεῖν τὸν Παρμενίδην, ὦ Σώκρατες, φάναι, ὡς ἄξιος εἶ ἄγασθαι τῆς ὁρμῆς τῆς ἐπὶ τοὺς λόγους. καί μοι εἰπὲ, αὐτὸς σὺ οὕτως διῄρησαι ὡς λέγεις; χωρὶς μὲν εἴδη αὐτὰ ἄττα, χωρὶς δὲ τὰ τούτων αὖ μετέχοντα; καὶ τί σοι δοκεῖ εἶναι αὐτὸ ὁμοιότης χωρὶς, ἧς ἡμεῖς ὁμοιότητος ἔχομεν, καὶ ἓν δὴ, καὶ πολλά; καὶ πάντα ὅσα δὴ νῦν Ζήνωνος ἤκουες; Ἔμοιγε, φάναι τὸν Σωκράτην. Ἦ καὶ τὰ τοιάδε, εἰπεῖν τὸν Παρμενίδην, οἷον δικαίου τι εἶδος αὐτὸ καθ᾽ αὑτό; καὶ καλοῦ κἀγαθοῦ, καὶ πάντων αὖ τῶν τοιούτων; Ναὶ, φάναι. Τί δ᾽, ἀνθρώπου εἶδος χωρὶς ἡμῶν; καὶ τῶν οἷοι ἡμεῖς ἐσμὲν πάντων; αὐτό τι εἶδος ἀνθρώπου, ἢ πυρὸς, ἢ καὶ ὕδατος; Ἐν ἀπορίᾳ, φάναι, πολλάκις δὴ, ὦ Παρμενίδη, περὶ αὐτῶν γέγονα, πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων, ἢ ἄλλως. Ἦ καὶ περὶ τῶνδε, ὦ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν ἂν εἶναι, οἷον θρὶξ, καὶ πηλὸς, καὶ ῥύπος, ἢ ἄλλό τι ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε χρὴ φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρὶς, ὂν ἄλλο αὐτῶν ἢ ὧν ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή; Οὐδαμῶς, φάναι τὸν Σωκράτην, ἀλλὰ ταῦτά γε ἅπερ ὁρῶμεν, ταῦτα καὶ εἶναι· εἶδος δέ τι αὐτῶν οἰηθῆναι εἶναι, μὴ λίαν ᾖ ἄτοπον. ἤδη μέντοι ποτέ με καὶ ἔθραξε μή τι ᾖ περὶ πάντων ταὐτόν· ἔπειτα ὅταν ταύτῃ στῶ, φεύγων οἴχομαι, δείσας μή ποτε εἴς τινα ἄμυθον φλυαρίαν ἐμπεσὼν διαφθαρῶ. ἐκεῖσε δ᾽ οὖν ἀφικόμενος εἰς ἃ δὴ νῦν ἐλέγομεν

εἴδη ἔχειν, περὶ ἐκεῖνα πραγματευόμενος διατρίβω· Νέος γὰρ εἶ ἔτι, φάναι τὸν Παρμενίδην, ὦ Σώκρατες· καὶ οὔπω σοῦ ἀντείληπται φιλοσοφία, ὡς ἔτι ἀντιλήψεται κατ' ἐμὴν δόξαν, ὅτε οὐδὲν αὐτῶν ἀτιμάσεις. νῦν δὲ ἔτι πρὸς ἀνθρώπων ἀποβλέπεις δόξας, διὰ τὴν ἡλικίαν. τόδε οὖν μοι εἰπὲ, δοκεῖ σοι, ὡς φῄς, εἴδη εἶναι ἄττα, ὧν τάδε τὰ ἄλλα μεταλαμβάνοντα τὰς ἐπωνυμίας αὐτῶν ἴσχειν; οἷον, ὁμοιότητος μὲν μεταλαβόντα, ὅμοια· μεγέθους δὲ, μεγάλα· κάλλους δὲ καὶ δικαιοσύνης, δίκαιά τε καὶ καλὰ γίγνεσθαι. Πάνυ γε, φάναι τὸν Σωκράτην. Οὐκοῦν ἤτοι ὅλου τοῦ εἴδους ἢ μέρους ἕκαστον τὸ μεταλαμβάνον μεταλαμβάνει; ἢ ἄλλη τὶς ἂν μετάληψις χωρὶς τούτων γένοιτο; Καὶ πῶς ἄν; εἶπε. Πότερον οὖν δοκεῖ σοι ὅλον τὸ εἶδος ἐν ἑκάστῳ εἶναι τῶν πολλῶν, ἓν ὄν; ἢ πῶς; Τί γὰρ κωλύει, φάναι τὸν Σωκράτην, ὦ Παρμενίδη, ἓν εἶναι; Ἓν ἄρα ὂν καὶ ταὐτὸ ἐν πολλοῖς καὶ χωρὶς οὖσιν, ὅλον ἅμα ἓν ἔσται· καὶ οὕτως αὐτὸ αὑτοῦ χωρὶς ἂν εἴη. Οὐκ ἂν εἶναι, φάναι. Οἷον, εἰ ἡμέρα εἴη μία καὶ ἡ αὐτὴ οὖσα, πολλαχοῦ ἅμα ἐστὶ, καὶ οὐδέν τι μᾶλλον αὐτὴ αὑτῆς χωρίς ἐστιν· οὕτω καὶ ἕκαστον τῶν εἰδῶν ἓν ἐν πᾶσιν ἅμα ταὐτὸν εἴη. Ἡδέως γε, φάναι, ὦ Σώκρατες, ἓν ταὐτὸν ἅμα πολλαχοῦ ποιεῖς· οἷον εἰ ἱστίῳ καταπετάσας πολλοὺς ἀνθρώπους, φαίης ἐπὶ πολλοῖς εἶναι ὅλον. ἢ οὐ τὸ τοιοῦτον ἡγῇ λέγειν; Ἴσως, φάναι. Ἦ οὖν ὅλον ἐφ' ἑκάστῳ τὸ ἱστίον εἴη ἄν, ἢ μέρος αὐτοῦ ἄλλο ἐπ' ἄλλῳ; Μέρος. Μεριστὰ ἄρα, φάναι, ὦ Σώκρατες, ἔστιν αὐτὰ τὰ εἴδη· καὶ τὰ με-

τέχοντα αὐτῶν, μέρους ἂν μετέχοι, καὶ οὐκέτι ἐν ἑκάστῳ ὅλον, ἀλλὰ μέρος ἑκάστου ἂν ἓν εἴη. Φαίνεται οὕτω γε. Ἦ οὖν ἐθελήσεις, ὦ Σώκρατες, φάναι τὸ ἓν εἶδος ἡμῖν τῇ ἀληθείᾳ μερίζεσθαι; καὶ ἔτι ἓν ἔσται; Οὐδαμῶς, εἰπεῖν. Ὅρα γάρ, φάναι, εἰ αὐτὸ τὸ μέγεθος μεριεῖς, καὶ ἕκαστον τῶν πολλῶν μεγάλων, μεγέθους μέρει σμικροτέρῳ αὐτοῦ τοῦ μεγέθους, μέγα ἔσται, ἆρ' οὐκ ἄλογον φανεῖται; Πάνυ γε, ἔφη. Τί δέ; τοῦ ἴσου μέρους ἕκαστον σμικρὸν ἀπολαβόντι, ἕξει ᾧ ἐλάττονι ὄντι αὐτοῦ τοῦ ἴσου, τὸ ἔχον, ἴσόν τῳ ἔσται; Ἀδύνατον. Ἀλλὰ τοῦ σμικροῦ μέρος τὶς ἡμῶν ἕξει· τούτου δὲ αὐτοῦ τὸ σμικρὸν μεῖζον ἔσται, ἅτε μέρους αὐτοῦ ὄντος. καὶ οὕτω δὴ αὐτὸ τὸ σμικρὸν μεῖζον ἔσται. ᾧ δ' ἂν προστεθῇ τὸ ἀφαιρεθέν, τοῦτο σμικρότερον ἔσται, ἀλλ' οὐ μεῖζον ἢ πρίν. Οὐκ ἂν γένοιτο, φάναι, τοῦτό γε. Τίνα οὖν τρόπον, εἰπεῖν, ὦ Σώκρατες, τῶν εἰδῶν σοι τἄλλα μεταλήψεται, μήτε κατὰ μέρη, μήτε κατὰ ὅλα μεταλαμβάνειν δυνάμενα; Οὐ μὰ τὸν Δία, φάναι, οὔ μοι δοκεῖ εὔκολον εἶναι τὸ τοιοῦτον οὐδαμῶς διορίσασθαι. Τί δὲ δή; πρὸς τόδε πῶς ἔχεις; Τὸ ποῖον; Οἶμαί σε ἐκ τοῦ τοιοῦδε ἓν ἕκαστον εἶδος οἴεσθαι εἶναι· ὅταν πόλλ' ἄττα μεγάλα δόξῃ σοὶ εἶναι, μία τὶς ἴσως δοκεῖ ἰδέα αὕτη εἶναι ἐπὶ πάντα ἰδόντι, ὅθεν ἓν τὸ μέγα ἡγῇ εἶναι. Ἀληθῆ λέγεις, φάναι. Τί δ' αὐτὸ τὸ μέγα, καὶ τἄλλα τὰ μεγάλα, ἐὰν ὡσαύτως τῇ ψυχῇ ἐπὶ πάντα ἴδῃς, οὐχὶ ἕν τι αὖ μέγα φανεῖται, ᾧ ταῦτα πάντα ἀνάγκη μεγάλα φαίνεσθαι; Ἔοικεν. Ἄλλο ἄρα εἶδος μεγέθους ἀναφανήσεται, παρ' αὐτό τε τὸ

μέγεθος γεγονὸς καὶ τὰ μετέχοντα αὐτοῦ· καὶ ἐπὶ τούτοις αὖ πᾶσιν ἕτερον, ᾧ ταῦτα πάντα μεγάλα ἔσται· καὶ οὐκέτι δὴ ἓν ἕκαστον σοὶ τῶν εἰδῶν ἔσται, ἀλλ' ἄπειρα τὸ πλῆθος. Ἀλλὰ φάναι, ὦ Παρμενίδη, τὸν Σωκράτην, μὴ τῶν εἰδῶν ἕκαστον τούτων ᾖ νόημα, καὶ οὐδαμοῦ αὐτῷ προσήκῃ ἐγγίνεσθαι ἄλλοθι ἢ ἐν ψυχῇ. οὕτω γὰρ ἂν ἕν τε ἕκαστον εἴη, καὶ οὐκ ἂν ἔτι πάσχοι ἃ νῦν δὴ ἐλέγετο. Τί οὖν; φάναι, ἓν ἕκαστόν ἐστι τῶν νοημάτων, νόημα δέ, οὐδενός; Ἀλλ' ἀδύνατον, εἰπεῖν. Ἀλλὰ τινός; Ναί. Ὄντος, ἢ οὐκ ὄντος; Ὄντος. Οὐχ ἑνός τινος, ὃ ἐπὶ πᾶσιν ἐκεῖνο τὸ νόημα ἐπὸν νοεῖ, μίαν τινὰ οὖσαν ἰδέαν; Ναί. Εἶτα οὐκ εἶδος ἔσται τοῦτο τὸ νοούμενον ἓν εἶναι, ἀεὶ ὂν τὸ αὐτὸ ἐπὶ πᾶσιν; Ἀνάγκη αὖ φαίνεται. Τί δὲ δή; εἰπεῖν τὸν Παρμενίδην, οὐκ ἀνάγκη, εἰ τἄλλα φῂς τῶν εἰδῶν μετέχειν, ἢ δοκεῖν σοι ἐκ νοημάτων ἕκαστον εἶναι, καὶ πάντα νοεῖν, ἢ νοήματα ὄντα, ἀνόητα εἶναι; Ἀλλ' οὐδὲ τοῦτο, φάναι, ἔχει λόγον. ἀλλ', ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν. τὰ μὲν εἴδη ταῦτα, ὥσπερ παραδείγματα, ἑστάναι, τῇ φύσει· τὰ δὲ ἄλλα, τούτοις ἐοικέναι, καὶ εἶναι ὁμοιώματα. καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τὶς ἢ εἰκασθῆναι αὐτοῖς. εἰ οὖν τι, ἔφη, ἔοικε τῷ εἴδει, οἷόν τε ἐκεῖνο τὸ εἶδος μὴ ὅμοιον εἶναι τῷ εἰκασθέντι, καθόσον αὐτῷ ἀφωμοιώθη; ἢ ἐστί τις μηχανή, τὸ ὅμοιον μὴ ὁμοίῳ εἶναι ὅμοιον; Οὐκ ἔστι. Τὸ δὲ ὅμοιον τῷ ὁμοίῳ ἆρ' οὐ μεγάλη ἀνάγκη ἑνὸς τοῦ αὐτοῦ εἴδους μετέχειν; Ἀνάγκη. Οὗ δ' ἂν τὰ ὅμοια μετέχοντα

ὅμοια ᾖ, οὐκ ἐκεῖνο ἔσται αὐτὸ τὸ εἶδος; Παντάπασι μὲν οὖν. Οὐκ ἄρα οἷόν τέ τι τῷ εἴδει ὅμοιον εἶναι, οὐδὲ τὸ εἶδος, ἄλλῳ· εἰ δὲ μὴ, παρὰ τὸ εἶδος ἀεὶ ἄλλο ἀναφανήσεται εἶδος· καὶ ἂν ἐκεῖνό τῳ ὅμοιον ᾖ, ἕτερον αὖ· καὶ οὐδέποτε παύσεται ἀεὶ καινὸν εἶδος γιγνόμενον, ἐὰν καὶ τὸ εἶδος τῷ ἑαυτοῦ μετέχοντι ὅμοιον γίγνηται. Ἀληθέστατα λέγεις. Οὐκ ἄρα ὁμοιότητι τἄλλα τῶν εἰδῶν μεταλαμβάνει· ἀλλά τι ἄλλο δεῖ ζητεῖν ᾧ μεταλαμβάνει. Ἔοικεν. Ὁρᾷς οὖν, φάναι, ὦ Σώκρατες, ὅση ἡ ἀπορία, ἐάν τις ὡς εἴδη ὄντα αὐτὰ καθ' ἑαυτὰ διορίζηται; Καὶ μάλα. Εὖ τοίνυν ἴσθι, φάναι, ὅτι, ὡς ἔπος εἰπεῖν, οὐδέπω ἅπτῃ αὐτῆς ὅση ἐστὶν ἡ ἀπορία, εἰ ἓν εἶδος ἕκαστον τῶν ὄντων αἰεί τι ἀφοριζόμενος θήσεις. Πῶς δή; εἰπεῖν. Πολλὰ μὲν καὶ ἄλλα, φάναι, μέγιστον δὲ τόδε· εἴτις φαίη μηδὲ προσήκειν αὐτὰ γιγνώσκεσθαι, ὄντα τοιαῦτα οἷα φαμὲν δεῖν εἶναι τὰ εἴδη, τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοι τὶς ἐνδείξασθαι ὅτι ψεύδεται· εἰ μὴ πολλῶν μὲν τύχοι ἔμπειρος ὢν ὁ ἀμφισβητῶν, καὶ μὴ ἀφυὴς, ἐθέλοι δὲ πάνυ πολλὰ καὶ πόῤῥωθεν πραγματευομένου τοῦ ἐνδεικνυμένου ἕπεσθαι· ἀλλ' ἀπίθανος ἂν εἴη ὁ ἄγνωστα αὐτὰ ἀναγκάζων εἶναι. Πῇ δὴ, ὦ Παρμενίδη; φάναι τὸν Σωκράτη. Ὅτι, ὦ Σώκρατες, οἶμαι ἂν καί σε καὶ ἄλλον ὅστις αὐτήν τινα καθ' αὑτὴν αὐτοῦ ἑκάστου οὐσίαν τίθεται εἶναι, ὁμολογῆσαι ἂν, πρῶτον μὲν μηδεμίαν αὐτῶν εἶναι ἐν ἡμῖν. Πῶς γὰρ ἂν αὐτὴ καθ' αὑτὴν ἔτι εἴη; φάναι τὸν Σωκράτη. Καλῶς λέγεις, εἰπεῖν. Οὐκοῦν καὶ ὅσαι τῶν ἰδεῶν πρὸς ἀλλήλας εἰσὶν αἵ εἰσιν, αὐ-

ται πρὸς αὑτὰς τὴν οὐσίαν ἔχουσιν, ἀλλ' οὐ πρὸς τὰ παρ' ἡμῖν εἴτε ὁμοιώματα, εἴτε ὅπη δή τις αὐτὰ τίθεται, ὧν ἡμεῖς μετέχοντες, εἶναι ἕκαστα ἐπονομαζόμεθα. τὰ δὲ παρ' ἡμῖν ταῦτα, ὁμώνυμα ὄντα ἐκείνοις, αὐτὰ αὖ πρὸς αὑτά ἐστιν, ἀλλ' οὐ πρὸς τὰ εἴδη, καὶ ἑαυτῶν, ἀλλ' οὐκ ἐκείνων ὅσα αὖ ὀνομάζεται οὕτω. Πῶς λέγεις; φάναι τὸν Σωκράτην. Οἷον, φάναι τὸν Παρμενίδην, εἴτις ἡμῶν του δεσπότης ἢ δοῦλός ἐστιν, οὐκ αὐτοῦ δεσπότου δήπου ὅ ἐστι δεσπότης, ἐκείνου δοῦλός ἐστιν· οὐδὲ αὐτοῦ δούλου, ὅ ἐςι δοῦλος, δεσπότης ὁ δεσπότης· ἀλλ' ἄνθρωπος ὢν ἀνθρώπου ἀμφότερα ταῦτά ἐστιν. αὕτη δὲ δεσποτεία, αὐτῆς δουλείας ἐστὶν ὅ ἐστι· καὶ δουλεία ὡςαύτως, αὐτὴ δουλεία αὐτῆς δεσποτείας. ἀλλ' οὐ τὰ ἐν ἡμῖν πρὸς ἐκεῖνα τὴν δύναμιν ἔχει, οὐδὲ ἐκεῖνα πρὸς ἡμᾶς· ἀλλ', ὃ λέγω, αὐτὰ αὑτῶν καὶ πρὸς αὑτὰ ἐκεῖνά τέ ἐστι, καὶ τὰ παρ' ἡμῖν ὡσαύτως πρὸς ἑαυτά. ἢ οὐ μανθάνεις ὃ λέγω; Πάνυ γ', εἰπεῖν τὸν Σωκράτη, μανθάνω. Οὐκοῦν καὶ ἐπιστήμη, φάναι, αὐτὴ μὲν ὅ ἐστιν ἐπιστήμη, τῆς ὅ ἐστιν ἀλήθεια, αὐτῆς ἂν ἐκείνης εἴη ἐπιστήμη; Πάνυ γε. Ἑκάστη δὲ αὖ τῶν ἐπιστημῶν ἥ ἐστιν, ἑκάστου τῶν ὄντων, ὅ ἐστιν, εἴη ἂν ἐπιστήμη. ἢ οὔ; Ναί. Ἡ δὲ παρ' ἡμῖν ἐπιστήμη, οὐ τῆς παρ' ἡμῖν ἂν ἀληθείας εἴη; καὶ αὖ ἑκάστη ἡ παρ' ἡμῖν ἐπιστήμη, τῶν παρ' ἡμῖν ὄντων ἑκάστου ἂν ἐπιστήμη συμβαίνοι εἶναι; Ἀνάγκη. Ἀλλὰ μὴν αὐτά γε τὰ εἴδη, ὡς ὁμολογεῖς, οὔτε ἔχομεν, οὔτε παρ' ἡμῖν οἷόν τε εἶναι. Οὐ γὰρ οὖν. Γιγνώσκεται δέ γέ που ὑπ' αὐτοῦ τοῦ εἴδους τοῦ τῆς

ἐπιστήμης αὐτὰ τὰ γένη ἃ ἔστιν ἕκαστα; Ναί. Ὅ γε ἡμεῖς οὐκ ἔχομεν. Οὐ γάρ. Οὐκ ἄρα ὑπό γε ἡμῶν γιγνώσκεται τῶν εἰδῶν οὐδέν· ἐπειδὴ αὐτῆς ἐπιστήμης οὐ μετέχομεν. Οὐκ ἔοικεν. Ἄγνωστον ἄρα ἡμῖν ἐστι καὶ αὐτὸ τὸ καλὸν ὃ ἔστι, καὶ τὸ ἀγαθόν· καὶ πάντα ἃ δὴ ὡς ἰδέας αὐτὰς οὔσας ὑπολαμβάνομεν. Κινδυνεύει. Ὅρα δὴ ἔτι τούτου δεινότερον τόδε. Τὸ ποῖον; Φαίης ἄν που, εἴπερ ἐστὶν αὐτό τι γένος ἐπιστήμης, πολὺ αὐτὸ ἀκριβέστερον εἶναι ἢ τὴν παρ᾽ ἡμῖν ἐπιστήμην; καὶ κάλλος, καὶ πάντα τὰ ἄλλα οὕτω; Ναί. Οὐκοῦν, εἴπέρ τι ἄλλο αὐτῆς ἐπιστήμης μετέχει, οὐκ ἄν τινα μᾶλλον ἢ θεὸν φαίης ἔχειν τὴν ἀκριβεστάτην ἐπιστήμην; Ἀνάγκη. Ἆρ᾽ οὖν οἷός τε αὖ ἔσται ὁ θεὸς τὰ παρ᾽ ἡμῖν γινώσκειν, αὐτὴν ἐπιστήμην ἔχων; Τί γὰρ οὔ; Ὅτι, ἔφη ὁ Παρμενίδης, ὡμολόγηται ἡμῖν, ὦ Σώκρατες, μήτ᾽ ἐκεῖνα τὰ εἴδη πρὸς τὰ παρ᾽ ἡμῖν τὴν δύναμιν ἔχειν, ἣν ἔχει, μήτε τὰ παρ᾽ ἡμῖν, πρὸς ἐκεῖνα· ἀλλ᾽ αὐτὰ πρὸς αὑτὰ ἑκάτερα. Ὡμολόγηται γάρ. Οὐκοῦν εἰ παρὰ τῷ θεῷ αὕτη ἐστὶν ἡ ἀκριβεστάτη δεσποτεία, καὶ αὕτη ἡ ἀκριβεστάτη ἐπιστήμη, οὔτ᾽ ἂν ἡ δεσποτεία ἡ ἐκείνων, ἡμῶν ποτε ἂν δεσπόσειεν, οὔτ᾽ ἂν ἡ ἐπιστήμη ἡμᾶς γνοίη, οὐδέ τι ἄλλο τῶν παρ᾽ ἡμῖν· ἀλλὰ ὁμοίως ἡμεῖς ἐκείνων οὐκ ἄρχομεν τῇ παρ᾽ ἡμῖν ἀρχῇ, οὐδὲ γιγνώσκομεν τοῦ θείου οὐδὲν, τῇ ἡμετέρᾳ ἐπιστήμῃ· ἐκεῖνοί τε αὖ κατὰ τὸν αὐτὸν λόγον οὔτε δεσπόται ἡμῶν εἰσιν, οὔτε γιγνώσκουσι τὰ ἀνθρώπινα πράγματα, θεοὶ ὄντες. Ἀλλὰ μὴ λίαν, ἔφη, θαυμαστὸς ὁ λόγος, εἴτις τὸν θεὸν ἀποστερήσει τοῦ εἰδέναι;

Ταῦτα μέντοι, ὦ Σώκρατες, ἔφη ὁ Παρμενίδης, καὶ ἔτι ἄλλα πρὸς τούτοις πάνυ πολλὰ ἀναγκαῖον ἔχειν τὰ εἴδη, εἰ εἰσὶν αὗται αἱ ἰδέαι τῶν ὄντων· καὶ ὁριεῖταί τις αὐτό τι ἕκαστον εἶδος· ὥστε ἀπορεῖν τε τὸν ἀκούοντα, καὶ ἀμφισβητεῖν ὡς οὔτε ἐστὶ ταῦτα, εἴτε ὅτι μάλιστα εἴη, πολλὴ ἀνάγκη αὐτὰ εἶναι τῇ ἀνθρωπίνῃ φύσει ἄγνωστα. καὶ ταῦτα λέγοντα, δοκεῖν τε τὶ λέγειν· καὶ, ὃ ἄρτι ἐλέγομεν, θαυμαστῶς ὡς δυσανάπειστον εἶναι· καὶ ἀνδρὸς πάνυ μὲν εὐφυοῦς, τοῦ δυνησομένου μαθεῖν ὡς ἔστι γένος τὶ ἑκάστου, καὶ οὐσία αὐτὴ καθ' αὑτήν· ἔτι δὲ θαυμαστοτέρου, τοῦ εὑρήσοντος, καὶ ἄλλον δυνησομένου διδάξαι πάντα ταῦτα ἱκανῶς διευκρινησάμενον. Συγχωρῶ σοι, ἔφη, ὦ Παρμενίδη, ὁ Σωκράτης. πάνυ γάρ μοι κατὰ νοῦν λέγεις. Ἀλλὰ μέντοι, εἶπεν ὁ Παρμενίδης, εἰ δή γέ τις, ὦ Σώκρατες, αὖ μὴ ἐάσει εἴδη τῶν ὄντων εἶναι. εἰς πάντα τὰ δὴ νῦν καὶ ἄλλα τοιαῦτα ἀποβλέψας, μηδὲ ὁριεῖται εἶδος ἑνὸς ἑκάστου, οὐδὲ ὅποι τρέψει τὴν διάνοιαν ἕξει, μὴ ἐῶν ἰδέαν τῶν ὄντων ἑκάστου τὴν αὐτὴν ἀεὶ εἶναι· καὶ οὕτω τὴν τοῦ διαλέγεσθαι δύναμιν παντάπασι διαφθερεῖ. τοῦ τοιούτου μὲν οὖν μοι δοκεῖς καὶ μᾶλλον ᾐσθῆσθαι. Ἀληθῆ λέγεις, φάναι. Τί οὖν ποιήσεις φιλοσοφίας πέρι; πῇ τρέψῃ, ἀγνοουμένων τούτων; Οὐ πάνυ μοὶ δοκῶ καθορᾷν ἔν γε τῷ παρόντι. Πρωῒ γάρ, εἰπεῖν, πρὶν γυμνασθῆναι, ὦ Σώκρατες, ὁρίζεσθαι ἐπιχειρεῖς καλόν τε τί καὶ δίκαιον, καὶ ἀγαθὸν, καὶ ἓν ἕκαστον τῶν εἰδῶν. ἐνενόησα γὰρ καὶ πρώην σοῦ ἀκούων διαλεγομένου ἐνθάδε Ἀριστοτέλει τῷδε. καλὴ μὲν

οὖν καὶ θεία, εὖ ἴσθι, ἡ ὁρμὴ ἣν ὁρμᾷς ἐπὶ τοὺς λόγους· ἕλκυσον δὲ σαυτὸν καὶ γύμνασον μᾶλλον διὰ τῆς δοκούσης ἀχρήστου εἶναι καὶ καλουμένης ὑπὸ τῶν πολλῶν ἀδολεσχίας, ἕως ἔτι νέος εἶ· εἰ δὲ μή, σὲ διαφεύξεται ἡ ἀλήθεια. Τίς οὖν ὁ τρόπος, φάναι, ὦ Παρμενίδη, τῆς γυμνασίας; Οὗτος, εἶπεν, ὅνπερ ἤκουσας Ζήνωνος. πλὴν τοῦτό γε σοῦ καὶ πρὸς τοῦτο ἠγάσθην, εἰπόντος ὅτι οὐκ εἴας ἐν τοῖς ὁρωμένοις οὐδὲ περὶ ταῦτα τὴν πλάνην ἐπισκοπεῖν· ἀλλὰ περὶ ἐκεῖνα ἃ μάλιστα τὶς ἂν λόγῳ λάβοι, καὶ ἤδη ἂν ἡγήσαιτο εἶναι. Δοκεῖ γάρ μοι, ἔφη, ταύτῃ γε οὐδὲν χαλεπὸν εἶναι, καὶ ὅμοια καὶ ἀνόμοια, καὶ ἄλλο ὁτιοῦν τὰ ὄντα πάσχοντα ἀποφαίνειν. Καὶ καλῶς γ', ἔφη. χρὴ δὲ καὶ τόδε ἔτι πρὸς τούτῳ ποιεῖν· μὴ μόνον εἰ ἔστιν ἕκαστον ὑποτιθέμενον, σκοπεῖν τὰ συμβαίνοντα ἐκ τῆς ὑποθέσεως, ἀλλὰ καὶ εἰ μή ἐστι τὸ αὐτὸ τοῦτο ὑποτίθεσθαι· εἰ βούλει μᾶλλον γυμνασθῆναι. Πῶς λέγεις; φάναι. Οἷον, ἔφη, εἰ βούλει περὶ ταύτης τῆς ὑποθέσεως ἣν Ζήνων ὑπέθετο, εἰ πολλά ἐστι, τί χρὴ συμβαίνειν καὶ αὐτοῖς τοῖς πολλοῖς πρὸς αὑτὰ καὶ πρὸς τὸ ἕν, καὶ τῷ ἑνὶ πρός τε αὑτὸ καὶ πρὸς τὰ πολλά· καὶ αὖ, εἰ μή ἐστι πολλά, πάλιν σκοπεῖν τί συμβήσεται καὶ τῷ ἑνὶ καὶ τοῖς πολλοῖς, καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα. καὶ αὖθις αὖ, ἐὰν ὑποθῇ, εἰ ἔστιν ὁμοιότης, ἢ εἰ μή ἐστι, τί ἐφ' ἑκατέρας τῆς ὑποθέσεως συμβήσεται καὶ αὐτοῖς τοῖς ὑποτεθεῖσι καὶ τοῖς ἄλλοις, καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα. καὶ περὶ ἀνομοίου ὁ αὐτὸς λόγος, καὶ περὶ κινήσεως, καὶ περὶ

στάσεως, καὶ περὶ γενέσεως καὶ φθορᾶς, καὶ περὶ αὐτοῦ τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. καὶ, ἑνὶ λόγῳ, περὶ ὅτου ἂν ἀεὶ ὑποθῇ, ὡς ὄντος καὶ οὐκ ὄντος, καὶ ὁτιοῦν ἄλλο πάθος πάσχοντος, δεῖ σκοπεῖν τὰ συμβαίνοντα πρὸς αὑτὸ, καὶ πρὸς ἕκαστον τῶν ἄλλων, ὅ, τι ἂν προέλῃ, καὶ πρὸς πλείω καὶ πρὸς ξύμπαντα ὡσαύτως· καὶ τὰ ἄλλα αὖ, πρὸς αὑτά τε καὶ πρὸς ἄλλο ὅ, τι ἂν ἀεὶ προαιρῇ· ἐάν τε ὡς ὂν ὑποθῇ ὃ ὑπετίθεσο, ἐάν τε ὡς μὴ ὄν· εἰ μέλλεις, τελέως γυμνασάμενος, κυρίως διόψεσθαι τὸ ἀληθές. Ἀμήχανόν γ᾽, ἔφη, λέγεις, ὦ Παρμενίδη, πραγματείαν· καὶ οὐ σφόδρα μανθάνω. ἀλλά μοι τί οὐ διῆλθες, αὐτὸς ὑποθέμενός τι, ἵνα μᾶλλον καταμάθω; Πολὺ ἔργον, φάναι, ὦ Σώκρατες, προστάττεις, ὡς τηλικῷδε. Ἀλλὰ σὺ, εἰπεῖν τὸν Σωκράτη, Ζήνων, τί οὐ διῆλθες ἡμῖν; Καὶ τὸν Ζήνωνα ἔφη γελάσαντα φάναι, Αὐτοῦ, ὦ Σώκρατες, δεώμεθα Παρμενίδου. μὴ γὰρ οὐ φαῦλον ᾖ ὃ λέγει. ἢ οὐχ ὁρᾷς ὅσον ἔργον προστάττεις; εἰ μὲν οὖν πλείους ἦμεν, οὐκ ἂν ἄξιον ἦν δεῖσθαι. ἀπρεπῆ γὰρ τὰ τοιαῦτα πολλῶν ἐναντίον λέγειν, ἄλλως τε καὶ τηλικούτῳ. ἀγνοοῦσι γὰρ οἱ πολλοὶ ὅτι ἄνευ ταύτης τῆς διὰ πάντων διεξόδου τε καὶ πλάνης ἀδύνατον ἐντυχόντα τῷ ἀληθεῖ, νοῦν σχεῖν. ἐγὼ μὲν οὖν, ὦ Παρμενίδη, Σωκράτει συνδέομαι, ἵνα καὶ αὐτὸς ἀκούσω διὰ χρόνου. Ταῦτα δὴ εἰπόντος τοῦ Ζήνωνος, ἔφη ὁ Ἀντιφῶν φάναι τὸν Πυθόδωρον, αὐτόν τε δεῖσθαι τοῦ Παρμενίδου καὶ τὸν Ἀριστοτέλην καὶ τοὺς ἄλλους, ἐνδείξασθαι ὃ λέγοι, καὶ μὴ ἄλλως ποιεῖν. Τὸν οὖν Παρμενίδην,

Ἀνάγκη, φάναι, πείθεσθαι. καίτοι δοκῶ μοι τὸ τοῦ Ἰβυκείου ἵππου πεπονθέναι· ᾧ ἐκεῖνος ἀθλητῇ ὄντι καὶ πρεσβυτέρῳ, ὑφ᾽ ἅρματι μέλλοντι ἀγωνιεῖσθαι, καὶ δι᾽ ἐμπειρίαν τρέμοντι τὸ μέλλον, ἑαυτὸν ἀπεικάζων, ἄκων ἔφη καὶ αὐτὸς, οὕτω πρεσβύτης ὢν, εἰς τὸν ἔρωτα ἀναγκάζεσθαι ἰέναι. κᾀγώ μοι δοκῶ μεμνημένος μάλα φοβεῖσθαι πῶς χρὴ τηλικόνδε ὄντα διανεῦσαι τοιοῦτόν τε καὶ τοσοῦτον πλῆθος λόγων. ὅμως δὲ δεῖ γὰρ χαρίζεσθαι, ἐπειδὴ καὶ ὁ Ζήνων λέγει. οἱ αὐτοὶ γάρ ἐσμεν. πόθεν οὖν δὴ ἀρξόμεθα; καὶ τί πρῶτον ὑποθησόμεθα; ἢ βούλεσθε, ἐπειδή περ δοκεῖ πραγματειώδη παιδιὰν παίζειν, ἀπ᾽ ἐμοῦ ἄρξωμαι καὶ τῆς ἐμαυτοῦ ὑποθέσεως, περὶ τοῦ ἑνὸς αὐτοῦ ὑποθέμενος, εἴτε ἕν ἐστιν, εἴτε μὴ ἕν, τί χρὴ συμβαίνειν; Πάνυ μὲν οὖν, φάναι τὸν Ζήνωνα. Τίς οὖν, εἰπεῖν, μοὶ ἀποκρινεῖται; ἢ ὁ νεώτατος; ἥκιστα γὰρ ἂν πολυπραγμονῇ, καὶ ἃ οἴεται μάλιστ᾽ ἂν ἀποκρίνοιτο· καὶ ἅμα ἐμοὶ ἀνάπαυλα ἂν εἴη ἡ ἐκείνου ἀπόκρισις. Ἕτοιμός σοι, ὦ Παρμενίδη, φάναι τοῦτον τὸν Ἀριστοτέλην· ἐμὲ γὰρ λέγεις, τὸν νεώτατον λέγων. ἀλλ᾽ ἐρώτα ὡς ἀποκρινουμένου δή. Εἶεν· φάναι. εἰ ἕν ἐστιν, ἄλλοτι οὐκ ἂν εἴη πολλὰ τὸ ἕν; Πῶς γὰρ ἄν; Οὔτε ἄρα μέρος αὐτοῦ, οὔτε ὅλον αὐτὸ δεῖ εἶναι. Τί δή; Τὸ μέρος που, μέρος ὅλου ἐστί. Ναί. Τί δὲ τὸ ὅλον; οὐχὶ οὗ ἂν μέρος μηδὲν ἀπῇ, ὅλον ἂν εἴη; Πάνυ γε. Ἀμφοτέρως ἄρα τὸ ἓν ἐκ μερῶν ἂν εἴη, ὅλον τε ὂν καὶ μέρη ἔχον. Ἀνάγκη. Ἀμφοτέρως ἂν ἄρα οὕτω τὸ ἓν πολλὰ εἴη, ἀλλ᾽ οὐχ ἕν. Ἀληθῆ. Δεῖ δέ γε μὴ πολλὰ ἀλλ᾽ ἓν

αὐτὸ εἶναι. Δεῖ. Οὔτ' ἄρα ὅλον ἔσται, οὔτε μέρη ἕξει, εἰ ἓν ἔσται τὸ ἕν. Οὐ γάρ. Οὐκοῦν εἰ μηδὲν ἔχει μέρος, οὔτ' ἀρχὴν, οὔτε τελευτὴν, οὔτε μέσον ἔχει. μέρη γὰρ ἂν ἤδη αὐτοῦ τὰ τοιαῦτα εἴη. Ὀρθῶς. Καὶ μὴν τελευτή γε καὶ ἀρχὴ, πέρας ἑκάστου. Πῶς δ' οὔ; Ἄπειρον ἄρα τὸ ἕν, εἰ μήτε ἀρχὴν μήτε τελευτὴν ἔχει. Ἄπειρον. Καὶ ἄνευ σχήματος ἄρα. οὔτε γὰρ ἂν στρογγύλου οὔτε εὐθέος μετέχοι. Πῶς; Στρογγύλον γέ που ἐστὶ τοῦτο, οὗ ἂν τὰ ἔσχατα πανταχῇ ἀπὸ τοῦ μέσου ἴσον ἀπέχῃ. Ναί. Καὶ μὴν εὐθύ γε, οὗ ἂν τὸ μέσον ἀμφοῖν τοῖν ἐσχάτοιν ἐπίπροσθεν ᾖ. Οὕτως. Οὐκοῦν μέρη ἂν ἔχοι τὸ ἕν, καὶ πόλλ' ἂν εἴη, εἴτ' εὐθέος σχήματος εἴτε περιφεροῦς μετέχοι. Πάνυ μὲν οὖν. Οὔτε ἄρα εὐθὺ οὔτε περιφερές ἐστιν· ἐπείπερ οὐδὲ μέρη ἔχει. Ὀρθῶς. Καὶ μὴν τοιοῦτόν γε ὂν, οὐδαμοῦ ἂν εἴη. οὔτε γὰρ ἐν ἄλλῳ οὔτε ἐν ἑαυτῷ εἴη. Πῶς δή; Ἐν ἄλλῳ μὲν ὂν, κύκλῳ που ἂν περιέχοιτο ὑπ' ἐκείνου ἐν ᾧ ἂν εἴη, καὶ πολλαχοῦ ἂν αὐτοῦ ἅπτοιτο πολλοῖς· τοῦ δὲ ἑνός τε καὶ ἀμεροῦς καὶ κύκλου μὴ μετέχοντος ἀδύνατον πολλαχῇ κύκλῳ ἅπτεσθαι. Ἀδύνατον. Ἀλλὰ μὴν αὐτό γε ἐν ἑαυτῷ ὂν, κἂν ἑαυτὸ εἴη περιέχον, ὂν οὐκ ἄλλο ἢ αὐτό· εἴπερ καὶ ἐν ἑαυτῷ εἴη. ἔν τῳ γάρ τι εἶναι μὴ περιέχοντι ἀδύνατον. Ἀδύνατον γάρ. Οὐκοῦν ἕτερον μὲν ἄν τι εἴη αὐτὸ τὸ περιέχον, ἕτερον δέ, τὸ περιεχόμενον. οὐ γὰρ ὅλον γε ἄμφω ταὐτὸν ἅμα πείσεται καὶ ποιήσει· καὶ οὕτω τὸ ἓν οὐκ ἂν εἴη ἔτι ἕν, ἀλλὰ δύο. Οὐ γὰρ οὖν. Οὐκ ἄρα ἐςί του τὸ ἕν, μήτε ἐν ἑαυτῷ μήτε ἐν ἄλλῳ ἐνόν. Οὐκ

ἔστιν. Ὅρα δή, οὕτως ἔχον, εἰ οἷόντε ἐστὶν ἑστάναι ἢ κινεῖσθαι. Τί δὴ γὰρ οὔ; Ὅτι κινούμενόν τε, ἢ φέροιτο ἢ ἀλλοιοῖτο ἄν. αὗται γὰρ μόναι κινήσεις. Ναί. Ἀλλοιούμενον δὲ τὸ ἓν ἑαυτοῦ, ἀδύνατόν που ἓν ἔτι που εἶναι. Ἀδύνατον. Οὐκ ἄρα κατ' ἀλλοίωσίν γε κινεῖται. Οὐ φαίνεται. Ἀλλ' ἆρα τῷ φέρεσθαι; Ἴσως. Καὶ μήν, εἰ φέροιτο τὸ ἕν, ἤτοι ἐν τῷ αὐτῷ ἂν περιφέροιτο κύκλῳ, ἢ μεταλλάττοι χώραν ἑτέραν ἐξ ἑτέρας. Ἀνάγκη. Οὐκοῦν, κύκλῳ μὲν περιφερόμενον, ἐπὶ μέσου βεβηκέναι ἀνάγκη, καὶ τὰ περὶ τὸ μέσον φερόμενα, ἄλλα μέρη ἔχειν ἑαυτοῦ· ᾧ δὲ μήτε μέσου μήτε μερῶν προσήκει, τίς μηχανὴ τοῦτο κύκλῳ ποτὲ ἐπὶ τοῦ μέσου ἐνεχθῆναι; Οὐδεμία. Ἀλλὰ δὴ χώραν ἀμεῖβον, ἄλλοτ' ἄλλοθι γίγνεται, καὶ οὕτω κινεῖται; Εἴπέρ γε δή. Οὐκοῦν εἶναι μέν που ἔν τινι αὐτό, ἀδύνατον ἐφάνη; Ναί. Ἆρ' οὖν γίγνεσθαι ἔτι ἀδυνατώτερον; Οὐκ ἐννοῶ ὅπη. Εἰ ἔν τῳ τὶ γίγνεται, οὐκ ἀνάγκη μήτέ πω ἐν ἐκείνῳ εἶναι, ἔτι ἐγγιγνόμενον, μήτέ τι ἔξω ἐκείνου παντάπασιν, εἴπερ ἤδη ἐγγίγνεται; Ἀνάγκη. Εἰ ἄρα τὶ ἄλλο πείσεται, τοῦτο ἐκεῖνο ἂν μόνον πάσχοι οὗ μέρη εἴη. τὸ μὲν γὰρ ἄν τι αὐτοῦ, ἤδη ἐν ἐκείνῳ, τὸ δέ, ἔξω εἴη ἅμα. τὸ δὲ μὴ ἔχον μέρη, οὐχ οἷόντέ που ἔσται τρόπῳ οὐδενὶ ὅλον ἅμα μήτε ἐντὸς εἶναι τινός, μήτε ἔξω. Ἀληθῆ. Οὗ δὲ μήτε μέρη εἰσί, μήτε ὅλον τυγχάνει ὄν, οὐ πολὺ ἔτι ἀδυνατώτερον ἐγγίγνεσθαί που; μήτε κατὰ μέρη, μήτε ὅλον ἐγγιγνόμενον; Φαίνεται. Οὔτ' ἄρα ποι ἰὸν καὶ ἔν τῳ γιγνόμενον, χώραν ἀλλάττει, οὔτ' ἐν τῷ αὐτῷ περιφερόμενον, οὔτε ἀλλοι-

οὐμενον. Οὐκ ἔοικε. Κατὰ πᾶσαν ἄρα κίνησιν τὸ ἓν ἀκίνητον. Ἀκίνητον. Ἀλλὰ μὴν καὶ εἶναί γε φαμὲν ἔν τινι αὐτὸ ἀδύνατον. Φαμὲν γάρ. Οὐδ᾽ ἄρα ποτὲ ἐν τῷ αὐτῷ ἐστι. Τί δή; Ὅτι ἤδη ἂν ἐν ἐκείνῳ εἴη ἐν ᾧ τῷ αὐτῷ ἐστι. Πάνυ μὲν οὖν. Ἀλλ᾽ οὔτε ἐν ἑαυτῷ οὔτε ἐν ἄλλῳ οἷόντε ἦν αὐτῷ ἓν εἶναι. Οὐ γὰρ οὖν. Οὐδέποτε ἄρα ἐστὶ τὸ ἓν ἐν τῷ αὐτῷ. Οὐκ ἔοικεν. Ἀλλὰ μὴν τόγε μηδέποτε ἐν τῷ αὐτῷ ὂν, οὔτε ἡσυχίαν ἄγει, οὔτε ἕστηκεν. Οὐ γὰρ οἷόντε. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, οὔτε ἕστηκεν, οὔτε κινεῖται. Οὔκουν δὴ φαίνεταί γε. Οὐδὲ μὴν ταὐτόν γε οὔτε ἑτέρῳ οὔτε ἑαυτῷ ἔσται, οὐδ᾽ αὖ ἕτερον οὔτε αὑτοῦ, οὔτε ἑτέρου ἂν εἴη. Πῇ δή; Ἕτερον μέν που ἑαυτοῦ ὂν, ἑνὸς ἕτερον ἂν εἴη, καὶ οὐκ ἂν εἴη ἕν. Ἀληθῆ. Καὶ μὴν ταὐτόν γε ἑτέρῳ ὂν, ἐκεῖνο ἂν εἴη, αὐτὸ δ᾽ οὐκ ἂν εἴη. ὥστε οὐδ᾽ ἂν οὕτως εἴη ὅπερ ἔστιν ἕν, ἀλλ᾽ ἕτερον ἑνός. Οὐ γὰρ οὖν. Ταὐτὸν μὲν ἄρα ἑτέρῳ, ἢ ἕτερον ἑαυτοῦ οὐκ ἔσται. Οὐ γάρ. Ἕτερον δέ γε ἑτέρου οὐκ ἔσται, ἕως ἂν ᾖ ἕν. Οὐ γὰρ ἑνὶ προσήκει ἑτέρῳ τινὸς εἶναι, ἀλλὰ μόνῳ ἑτέρῳ ἑτέρου, ἄλλῳ δὲ οὐδενί. Ὀρθῶς. Τῷ μὲν ἄρα ἓν εἶναι, οὐκ ἔσται ἕτερον. ἢ οἴει; Οὐ δῆτα. Ἀλλὰ μὴν, εἰ μὴ τούτῳ, οὐχ ἑαυτῷ ἔσται· εἰ δὲ μὴ αὑτῷ, οὐδὲ αὐτό. αὐτὸ δὲ μηδαμῇ ὂν ἕτερον, οὐδενὸς ἔσται ἕτερον. Ὀρθῶς. Οὐδὲ μὴν ταὐτὸν ἑαυτῷ ἔσται. Πῶς δ᾽ οὔ; Οὐχ ἧπερ τοῦ ἑνὸς φύσις, αὐτὴ δήπου καὶ τοῦ ταὐτοῦ; Τί δή; Ὅτι οὐκ ἐπειδὰν ταὐτὸν γένηταί τῳ τὶ, ἓν γίγνεται. Ἀλλὰ τί μήν; Τοῖς πολλοῖς ταὐτὸν γενόμενον, πολλὰ ἀνάγκη γίγνεσθαι, ἀλλ᾽ οὐχ ἕν.

Ἀληθῆ. Ἀλλ' εἰ τὸ ἓν καὶ τὸ ταὐτὸν μηδαμῇ διαφέρει, ὁπότε τι ταὐτὸν ἐγίγνετο, ἀεὶ ἂν ἓν ἐγίγνετο· καὶ ὁπότε ἕν, ταὐτόν. Πάνυ γε. Εἰ ἄρα τὸ ἓν ἑαυτῷ ταὐτὸν ἔσται, οὐχ ἓν ἑαυτῷ ἔσται· καὶ οὕτως ἓν ὂν, οὐχ ἓν ἔσται. Ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον. Ἀδύνατον ἄρα καὶ τῷ ἑνὶ, ἢ ἑτέρου ἕτερον εἶναι, ἢ ἑαυτῷ ταὐτόν. Ἀδύνατον. Οὕτω δὴ ἕτερόν γε ἢ ταὐτὸν τὸ ἓν οὔτ' ἂν αὑτῷ οὔτ' ἂν ἑτέρῳ εἴη. Οὐ γὰρ οὖν. Οὐδὲ μὴν ὅμοιον τινὶ ἔσται οὐδ' ἀνόμοιον, οὔθ' ἑαυτῷ οὔθ' ἑτέρῳ. Τί δή; Ὅτι τὸ ταὐτόν που πεπονθὸς, ὅμοιον. Ναί. Τοῦ δέ γε ἑνὸς χωρὶς ἐφάνη τὴν φύσιν τὸ ταὐτόν. Ἐφάνη γάρ. Ἀλλὰ μὴν εἴτι πέπονθε, χωρὶς τοῦ ἓν εἶναι, τὸ ἕν, πλείω ἂν εἶναι πεπόνθοι, ἢ ἕν. τοῦτο δὲ ἀδύνατον. Ναί. Οὐδαμῶς ἔστιν ἄρα ταὐτὸν πεπονθὸς εἶναι τὸ ἓν οὔτε ἄλλῳ οὔτε ἑαυτῷ. Οὐ φαίνεται. Οὐδὲ ὅμοιον ἄρα δυνατὸν αὐτὸ εἶναι οὔτε ἄλλῳ, οὔτε ἑαυτῷ. Οὐκ ἔοικεν. Οὐδὲ μὴν ἕτερόν γε πέπονθεν εἶναι τὸ ἕν. καὶ γὰρ οὕτω πλείω ἂν πεπόνθοι εἶναι ἢ ἕν. Πλείω γάρ. Τό γε μὴν ἕτερον πεπονθὸς ἢ ἑαυτοῦ, ἢ ἄλλου, ἀνόμοιον ἂν εἴη ἢ ἑαυτῷ ἢ ἄλλῳ· εἴπερ τὸ ταὐτὸ πεπονθὸς, ὅμοιον. Ὀρθῶς. Τὸ δέ γε ἕν, ὡς ἔοικεν, οὐδαμῶς ἕτερον πεπονθὸς, οὐδαμῶς ἀνόμοιόν ἐστιν οὔτε ἑαυτῷ οὔτε ἑτέρῳ. Οὐ γὰρ οὖν. Οὔτε ἄρα ὅμοιον, οὔτε ἀνόμοιον οὔθ' ἑτέρῳ οὔτε ἑαυτῷ ἂν εἴη τὸ ἕν. Οὐ φαίνεται. Καὶ μὴν τοιοῦτόν γε ὂν, οὔτε ἴσον οὔτε ἄνισον ἔσται, οὔτε ἑαυτῷ οὔτε ἄλλῳ. Πῇ δή; Ἴσον μὲν ὂν, τῶν αὐτῶν μέτρων ἔσται ἐκείνῳ ᾧ ἂν ἴσον ᾖ. Ναί. Μεῖζον δέ που ἢ ἔλαττον ὂν, οἷς

καὶ τὸ ἐγίνετο, οὐ χρόνου μέθεξιν δοκεῖ σημαίνειν τοῦ ποτε γεγονότος; Καὶ μάλα. Τί δέ; τὸ ἔσται, καὶ τὸ γενήσεται, καὶ τὸ γενηθήσεται, οὐ τοῦ ἔπειτα, τοῦ μέλλοντος; Ναί. Τὸ δὲ δὴ ἔστι, καὶ τὸ γίγνεται, οὐ τοῦ νῦν παρόντος; Πάνυ μὲν οὖν. Εἰ ἄρα τὸ ἓν μηδαμῇ μηδενὸς μετέχει χρόνου, οὔτε ποτὲ γέγονεν, οὔτ᾽ ἐγίγνετο, οὔτ᾽ ἦν ποτε, οὔτε νῦν γέγονεν, οὔτε γίγνεται, οὔτ᾽ ἐστὶν, οὔτ᾽ ἔπειτα γενήσεται, οὔτε γενηθήσεται, οὔτ᾽ ἔσται. Ἀληθέστατα. Ἔστιν οὖν οὐσίας ὅπως ἄν τι μετάσχοι ἄλλως ἢ κατὰ τούτων τι; Οὐκ ἔστιν. Οὐδαμῶς ἄρα τὸ ἓν οὐσίας μετέχει. Οὐκ ἔοικεν. Οὐδαμῶς ἄρα ἐστὶ τὸ ἕν. Οὐ φαίνεται. Οὐδ᾽ ἄρα οὕτως ἐστὶν ὥστε ἓν εἶναι. εἴη γὰρ ἂν ἤδη ὂν, καὶ οὐσίας μετέχον. ἀλλ᾽ ὡς ἔοικε, τὸ ἕν, οὔτε ἕν ἐστιν, οὔτε ἐστὶν, εἰ δεῖ τῷ τοιῷδε λόγῳ πιστεύειν. Κινδυνεύει. Ὃ δὲ μὴ ἔστι, τούτῳ τῷ μὴ ὄντι εἴη ἄν τι, ἢ αὐτῷ, ἢ αὐτοῦ; Καὶ πῶς; Οὐδ᾽ ἄρα ὄνομά ἐστιν αὐτῷ, οὐδὲ λόγος, οὐδέ τις ἐπιστήμη, οὐδὲ αἴσθησις, οὐδὲ δόξα. Οὐ φαίνεται. Οὐδ᾽ ὀνομάζεται ἄρα, οὐδὲ λέγεται, οὐδὲ δοξάζεται, οὐδὲ γιγνώσκεται· οὐδέ τι τῶν ὄντων αὐτοῦ αἰσθάνεται. Οὐκ ἔοικεν. Ἦ δυνατὸν οὖν περὶ τὸ ἓν ταῦτα οὕτως ἔχειν; Οὔκουν ἔμοιγε δοκεῖ. Βούλει οὖν ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐάν τι ἡμῖν ἐπανιοῦσιν ἀλλοῖον φανῇ; Πάνυ μὲν οὖν βούλομαι. Οὐκοῦν, ἓν εἰ ἔστι, φαμέν, τὰ συμβαίνοντα περὶ αὐτὸ, ποῖά ποτε τυγχάνει ὄντα, διομολογητέα ταῦτα; οὐχ οὕτω; Ναί. Ὅρα δὴ ἐξ ἀρχῆς. ἓν εἰ ἔστιν, ἆρα οἷόντε αὐτὸ εἶναι μέν, οὐσίας δὲ μὴ μετέχειν; Οὐχ οἷόν τε. Οὐκοῦν καὶ

ἡ οὐσία, τοῦ ἑνὸς εἴη ἄν, οὐ ταὐτὸν οὖσα τῷ ἑνί. οὐ γὰρ ἂν ἐκείνη ἦν ἐκείνου οὐσία· οὐδ' ἂν ἐκεῖνο τὸ ἓν ἐκείνης μετεῖχεν· ἀλλ' ὅμοιον ἂν ἦν λέγειν ἕν τε εἶναι, καὶ ἕν, ἕν. νῦν δὲ οὐχ αὕτη ἐστὶν ἡ ὑπόθεσις, εἰ ἕν τι χρὴ συμβαίνειν, ἀλλ' εἰ ἕν ἐστιν. οὐχ οὕτω; Πάνυ μὲν οὖν. Οὐκοῦν ὡς ἄλλό τι σημαῖνον τὸ ἔστι τοῦ ἕν; Ἀνάγκη. Ἆρ' οὖν ἄλλο ἢ ὅ, τι οὐσίας μετέχει τὸ ἕν, τοῦτ' ἂν εἴη τὸ λεγόμενον, ἐπειδάν τις συλλήβδην εἴπῃ ὅτι ἓν ἐστι; Πάνυ γε. Πάλιν δὴ λέγωμεν, ἓν εἰ ἔστι, τί συμβήσεται. σκόπει οὖν· οὐκ ἀνάγκη ταύτην τὴν ὑπόθεσιν τοιοῦτον ὂν τὸ ἓν σημαίνειν, οἷον μέρη ἔχειν; Πῶς; Ὧδε. Εἰ τὸ ἔστι τοῦ ἑνὸς ὄντος λέγεται, καὶ τὸ ἓν τοῦ ὄντος ἑνός· ἔστι δὲ οὐ τὸ αὐτὸ ἥ τε οὐσία καὶ τὸ ἕν, τοῦ αὐτοῦ δὲ ἐκείνου οὗ ὑπεθέμεθα τοῦ ἑνὸς ὄντος· ἆρα οὐκ ἀνάγκη τὸ μὲν ὅλον, ἓν ὂν εἶναι αὐτοῦ; τούτου δὲ γίγνεσθαι μόρια τό, τε ἓν καὶ τὸ εἶναι; Ἀνάγκη. Πότερον οὖν ἑκάτερον τῶν μορίων τούτων, μόριον μόνον προσεροῦμεν, ἢ τοῦ ὅλου μόριον τόγε μόριον προσρητέον τοῦ ὅλου; καὶ ὅλον ἄρα ἐστὶν ὃ ἐὰν ἓν ᾖ, καὶ μόριον ἔχῃ. Πάνυ γε. Τί οὖν; τῶν μορίων ἑκάτερον τούτων τοῦ ἑνὸς ὄντος τό, τε ἓν καὶ τὸ ὄν, ἆρα ἀπολείπεσθον, ἢ τὸ ἕν, τοῦ ὄντος εἶναι μόριον, ἢ τὸ ὄν, τοῦ ἑνὸς μόριον; Οὐκ ἂν εἴη. Πάλιν ἄρα καὶ τῶν μορίων ἑκάτερον τό, τε ἓν ἴσχει καὶ τὸ ὄν, καὶ γίγνεται τὸ ἐλάχιστον ἐκ δυοῖν αὖ μορίοιν τὸ μόριον· καὶ κατὰ τὸν αὐτὸν λόγον οὕτως ἀεί, ὅ, τι περ ἂν μόριον γένηται, τούτω τὼ μορίω ἀεὶ ἴσχει. τό, τε γὰρ ἕν, τὸ ὂν ἀεὶ ἴσχει, καὶ τὸ ὂν τὸ ἕν· ὥστε ἀνά-

γκη δύ' ἀεὶ γιγνόμενον, μηδέποτε ἓν εἶναι. Παντάπασι μὲν οὖν. Οὐκοῦν ἄπειρον ἂν τὸ πλῆθος οὕτω τὸ ἓν ὂν εἴη; Ἔοικέ γε. Ἴθι δὴ καὶ τῇδε ἔτι. Πῇ; Οὐσίας φαμὲν μετέχειν τὸ ἕν, διό ἐστιν ὄν; Ναί. Καὶ διὰ ταῦτα δὴ τὸ ἓν ὂν πολλὰ ἐφάνη. Οὕτω. Τί δή; αὐτὸ τὸ ἕν, ὃ δή φαμεν οὐσίας μετέχειν, ἐὰν αὐτὸ τῇ διανοίᾳ μόνον καθ' αὑτὸ λάβωμεν, ἄνευ τούτου οὗ φαμὲν μετέχειν, ἆρά γε ἓν μόνον φανήσεται; ἢ καὶ πολλὰ τὸ αὐτὸ τοῦτο; Ἕν, οἶμαι ἔγωγε. Ἴδωμεν δὴ ἄλλλό τι. ἕτερον μὲν ἀνάγκη τὴν οὐσίαν αὐτοῦ εἶναι, ἕτερον δὲ αὐτό· εἴπερ μὴ οὐσίας τὸ ἕν, ἀλλὰ ὡς ἑνὸς οὐσία μετέσχεν. Ἀνάγκη. Οὐκοῦν, εἰ ἕτερον μὲν ἡ οὐσία, ἕτερον δὲ τὸ ἕν, οὔτε τῷ ἓν, τὸ ἓν τῆς οὐσίας ἕτερον, οὔτε τῷ οὐσία εἶναι, ἡ οὐσία τοῦ ἑνὸς ἄλλο· ἀλλὰ τῷ ἑτέρῳ τε καὶ ἄλλῳ ἕτερα ἀλλήλων. Πάνυ μὲν οὖν. Ὥστε οὐ ταὐτόν ἐστιν οὔτε τῷ ἑνὶ οὔτε τῇ οὐσίᾳ τὸ ἕτερον. Πῶς γάρ; Τί οὖν ἐὰν προελώμεθα αὐτῶν εἴτε βούλει τὴν οὐσίαν καὶ τὸ ἕτερον, εἴτε τὴν οὐσίαν καὶ τὸ ἕν, εἴτε τὸ ἓν καὶ τὸ ἕτερον, ἆρ' οὐκ ἐν ἑκάστῃ τῇ προαιρέσει προαιρούμεθα τινὲ ὣ ὀρθῶς ἔχει καλεῖσθαι ἀμφοτέρω; Πῶς; Ὧδε. ἔστιν οὐσίαν εἰπεῖν; Ἔστι. Καὶ αὖθις εἰπεῖν ἕν; Καὶ τοῦτο. Ἆρ' οὖν οὐχ ἑκάτερον αὐτοῖν εἴρηται; Ναί. Τί δ' ὅταν εἴπω οὐσία τε καὶ ἕν, ἆρα οὐκ ἀμφοτέρω; Πάνυ γε. Οὐκοῦν καὶ ἐὰν οὐσία τε καὶ ἕτερον, ἢ ἕτερόν τε καὶ ἕν, καὶ οὕτω πανταχῶς ἐφ' ἕκαστον ἄμφω λέγω; Ναί. Ὣ δ' ἂν ἄμφω ὀρθῶς προσαγορεύησθον, ἆρα οἷόντε ἄμφω μὲν αὐτὼ εἶναι, δύο δὲ μή; Οὐχ οἷόντε. Ὣ δ' ἂν δύο ἦτον, ἔστι

τὶς μηχανὴ μὴ οὐχ ἑκάτερον αὐτοῖν ἓν εἶναι; Οὐδεμία. Τούτων ἄρα ἐπείπερ σὺν δύο ἕκαστα συμβαίνει εἶναι, καὶ ἓν ἂν εἴη ἕκαστον. Φαίνεται. Εἰ δὲ ἓν ἕκαστον αὐτῶν ἐστι, συντεθέντος ἑνὸς ὁποιουοῦν ᾑτινιοῦν συζυγίᾳ, οὐ τρία γίγνεται τὰ πάντα; Ναί. Τρία δὲ, οὐ περιττά; καὶ δύο, ἄρτια, Πῶς δ᾽ οὔ; Τί δέ; δυοῖν ὄντοιν, οὐκ ἀνάγκη εἶναι καὶ δίς; καὶ τριῶν ὄντων, τρίς; εἴπερ ὑπάρχει τῷ τε δύο τὸ δὶς ἕν, καὶ τῷ τρία, τὸ τρὶς ἕν; Ἀνάγκη. Δυοῖν δὲ ὄντοιν καὶ δὶς, οὐκ ἀνάγκη δύο δὶς εἶναι; καὶ τριῶν καὶ τρὶς, οὐκ ἀνάγκη αὖ τρία τρὶς εἶναι; Πῶς δ᾽ οὔ; Τί δέ; τριῶν ὄντων καὶ δὶς ὄντων, καὶ δυοῖν ὄντοιν καὶ τρὶς ὄντοιν, οὐκ ἀνάγκη τρία τε δὶς εἶναι καὶ δὶς τρία; Πολλή γε. Ἄρτιά τε ἄρα ἀρτιάκις ἂν εἴη καὶ περιττὰ περιττάκις, καὶ ἄρτια περιττάκις, καὶ περιττὰ ἀρτιάκις. Ἔστιν οὕτως. Εἰ οὖν ταῦτα οὕτως ἔχει, οἴει τινὰ ἀριθμὸν ὑπολείπεσθαι, ὃν οὐκ ἀνάγκη εἶναι; Οὐδαμῶς γε. Εἰ ἄρα ἔστιν ἕν, ἀνάγκη καὶ ἀριθμὸν εἶναι. Ἀνάγκη. Ἀλλὰ μὴν ἀριθμοῦ γε ὄντος, πόλλ᾽ ἂν εἴη, καὶ πλῆθος ἄπειρον τῶν ὄντων. ἢ οὐκ ἄπειρος ἀριθμὸς πλήθει καὶ μετέχων οὐσίας γίγνεται; Καὶ πάνυ γε. Οὐκοῦν εἰ πᾶς ἀριθμὸς οὐσίας μετέχει, καὶ τὸ μόριον ἕκαστον τοῦ ἀριθμοῦ μετέχοι ἂν αὐτῆς; Ναί. Ἐπὶ πάντα ἄρα πολλὰ ὄντα ἡ οὐσία νενέμηται, καὶ οὐδενὸς ἀποστατεῖ τῶν ὄντων, οὔτε τοῦ σμικροτάτου, οὔτε τοῦ μεγίστου. ἢ τοῦτο μὲν ἄλογον ἔρεσθαι; πῶς γὰρ ἂν δὴ οὐσία γε τῶν ὄντων του ἀποστατοῖ; Οὐδαμῶς. Κατακεκερμάτισται ἄρα ὡς οἷόντε σμικρότατα καὶ

ὅλον ἐν τούτῳ, μὴ ἑνὶ, πῶς ἔτι ἕν γε τοῖς πᾶσιν ἐν ἔσται; Οὐδαμῶς. Οὐδὲ μὴν ἔν τισι τῶν μερῶν. εἰ γὰρ ἔν τισι τὸ ὅλον εἴη, τὸ πλέον ἂν ἐν τῷ ἐλάττονι εἴη· ὅ ἐστιν ἀδύνατον. Ἀδύνατον γάρ. Μὴ ὂν δ' ἐν πλείοσι, μηδ' ἐν ἑνὶ, μηδ' ἐν ἅπασι τοῖς μέρεσι τὸ ὅλον, οὐκ ἀνάγκη ἐν ἑτέρῳ τινὶ εἶναι, ἢ μηδαμοῦ ἔτι εἶναι; Ἀνάγκη. Οὐκοῦν μηδαμοῦ μὲν ὂν, οὐδὲν ἂν εἴη; ὅλον δὲ ὂν, ἐπειδὴ οὐκ ἐν αὐτῷ ἐστιν, ἀνάγκη ἐν ἄλλῳ εἶναι; Πάνυ γε. Ἧι μὲν ἄρα τὸ ἓν, ὅλον ἐν ἄλλῳ ἐστίν· ᾗ δὲ τὰ πάντα μέρη ὄντα τυγχάνει, αὐτὸ ἐν ἑαυτῷ. καὶ οὕτω τὸ ἓν ἀνάγκη αὐτό τε ἐν ἑαυτῷ εἶναι καὶ ἐν ἑτέρῳ. Ἀνάγκη. Οὕτω δὴ πεφυκὸς τὸ ἓν ἆρ' οὐκ ἀνάγκη καὶ κινεῖσθαι καὶ ἑστάναι; Πῇ; Ἕστηκε μέν που, εἴπερ αὐτὸ ἐν ἑαυτῷ ἐστιν. ἐν γὰρ ἑνὶ ὂν, καὶ ἐκ τούτου μὴ μεταβαῖνον, ἐν τῷ αὐτῷ ἂν εἴη, ἐν ἑαυτῷ ὄν. Ἔστι γάρ. Τὸ δέ γε ἐν τῷ αὐτῷ ἀεὶ ὂν, ἑστὼς δήπου ἀνάγκη ἀεὶ εἶναι. Πάνυ γε. Τί δέ; τὸ ἐν ἑτέρῳ ἀεὶ ὂν, οὐ, τὸ ἐναντίον, ἀνάγκη μηδέποτ' ἐν τῷ αὐτῷ εἶναι; μηδέποτε δὲ ὂν ἐν τῷ αὐτῷ, μηδὲ ἑστάναι; μὴ ἑστὼς δὲ, κινεῖσθαι; Οὕτως. Ἀνάγκη ἄρα τὸ ἓν, αὐτό τε ἐν ἑαυτῷ ἀεὶ ὂν καὶ ἐν ἑτέρῳ, ἀεὶ κινεῖσθαί τε καὶ ἑστάναι. Φαίνεται. Καὶ μὴν ταὐτόν γε δεῖ εἶναι αὐτὸ ἑαυτῷ, καὶ ἕτερον ἑαυτοῦ. καὶ τοῖς ἄλλοις ὡσαύτως ταὐτόν τε καὶ ἕτερον εἶναι, εἴπερ καὶ τὰ πρόσθεν πέπονθε. Πῶς; Πᾶν που πρὸς ἅπαν ὧδε ἔχει· ἢ ταὐτόν ἐστιν, ἢ ἕτερον· ἢ, ἐὰν μὴ ταὐτὸν ᾖ μηδ' ἕτερον, μέρος ἂν εἴη τούτου πρὸς ὃ οὕτως ἔχει, ἢ ὡς πρὸς μέρος ὅλον ἂν εἴη. Φαίνεται. Ἆρ' οὖν τὸ ἓν, αὐτὸ αὑ-

τοῦ μέρος ἐστίν; Οὐδαμῶς. Οὐδ' ἄρα ὡς πρὸς μέρος, αὐτὸ αὑτοῦ ὅλον ἂν εἴη, πρὸς ἑαυτὸ μέρος ὄν. Οὐ γὰρ οἷόν τε. Ἀλλ' ἆρα ἕτερόν ἐστιν ἑνὸς τὸ ἕν; Οὐ δῆτα. Οὐκ ἄρα ἑαυτοῦ γε ἕτερον ἂν εἴη. Οὐ μέντοι. Εἰ οὖν μήτε ἕτερον, μήτε ὅλον, μήτε μέρος αὐτὸ πρὸς ἑαυτό ἐστιν, οὐκ ἀνάγκη ἤδη ταὐτὸν εἶναι αὐτὸ ἑαυτῷ; Ἀνάγκη. Τί δέ; τὸ ἑτέρωθι ὂν αὐτὸ ἑαυτοῦ ἐν τῷ αὐτῷ ὄντος ἑαυτῷ, οὐκ ἀνάγκη αὐτὸ ἑαυτοῦ ἕτερον εἶναι, εἴπερ καὶ ἑτέρωθι ἔσται; Ἔμοιγε δοκεῖ. Οὕτω μὴν ἐφάνη ἔχον τὸ ἕν, αὐτό τε ἐν ἑαυτῷ ὂν ἅμα καὶ ἐν ἑτέρῳ. Ἐφάνη γάρ. Ἕτερον ἄρα, ὡς ἔοικεν, εἴη ταύτῃ ἂν ἑαυτοῦ τὸ ἕν. Ἔοικε. Τί οὖν; εἰ τουτὶ ἕτερόν ἐστιν, οὐχ ἑτέρου ὄντος ἕτερον ἔσται; Ἀνάγκη. Οὐκοῦν ὅσα μὴ ἕν ἐστιν, ἅπανθ' ἕτερα τοῦ ἑνός; καὶ τὸ ἕν, τῶν μὴ ἕν; Πῶς δ' οὔ; Ἕτερον ἂν εἴη ἄρα τὸ ἓν τῶν ἄλλων. Ἕτερον. Ὅρα δή·· αὐτό τε ταὐτὸν καὶ τὸ ἕτερον, ἆρ' οὐκ ἐναντία ἀλλήλοις; Πῶς δ' οὔ; Ἦ οὖν ἐθελήσει ταὐτὸν ἐν τῷ ἑτέρῳ, ἢ ἕτερον ἐν ταὐτῷ ποτε εἶναι; Οὐκ ἐθελήσει. Εἰ ἄρα τὸ ἕτερον ἐν ταὐτῷ μηδέποτε ἔσται, οὐδέν ἐστι τῶν ὄντων ἐν ᾧ ἐστι τὸ ἕτερον χρόνον οὐδένα. εἰ γὰρ ὁντινοῦν εἴη ἔν τῳ, ἐκεῖνον ἂν τὸν χρόνον ἐν ταὐτῷ εἴη τὸ ἕτερον. οὐχ οὕτως; Οὕτως. Ἐπειδὴ δ' οὐδέποτε ἐν τῷ αὐτῷ ἐστιν, οὐδέποτε ἔν τινι τῶν ὄντων ἂν εἴη τὸ ἕτερον. Ἀληθῆ. Οὔτ' ἄρα ἐν τοῖς μὴ ἕν, οὔτε ἐν τῷ ἑνὶ εἴη ἂν τὸ ἕτερον. Οὐ γὰρ οὖν. Οὐκ ἄρα τῷ ἑτέρῳ γ' ἂν εἴη τὸ ἕν, τῶν μὴ ἕν, οὐδὲ τὰ μὴ ἕν, τοῦ ἑνὸς ἕτερα. Οὐ γάρ. Οὐδὲ μὴν ἑαυτοῖς γε ἕτερ' ἂν εἴη ἀλλήλων, μὴ μετέχοντα τοῦ ἑτέρου.

Πῶς γάρ; Εἰ δὲ μήτε ἑαυτοῖς ἕτερά ἐστι, μήτε τῷ ἑτέρῳ, οὐ πάντη ἂν ἤδη ἐκφύγοι τὸ μὴ ἕτερα εἶναι ἀλλήλων. Ἐκφεύγοι. Ἀλλὰ μὴν οὐδὲ τοῦ ἑνός γε μετέχει τὰ μὴ ἕν. οὐ γὰρ ἂν μὴ ἓν ἦν, ἀλλά πη ἂν ἓν ἦν. Ἀληθῆ. Οὐδ᾽ ἂν ἀριθμὸς εἴη ἄρα τὰ μὴ ἕν. οὐδὲ γὰρ ἂν οὕτω μὴ ἓν ἦν παντάπασιν, ἀριθμόν γε ἔχοντα. Οὐ γὰρ οὖν. Τί δέ; τὰ μὴ ἕν, τοῦ ἑνὸς ἆρα μόριά ἐστιν; ἢ κἂν οὕτω μετεῖχε τοῦ ἑνὸς τὰ μὴ ἕν; Μετεῖχεν. Εἰ ἄρα παντὶ τὸ μὲν, ἕν ἐστι, τὰ δέ, μὴ ἕν, οὔτ᾽ ἂν μόριον τῶν μὴ ἓν τὸ ἓν εἴη, οὔτε ὅλον ὡς μόριον· οὔτε αὖ τὰ μὴ ἓν τοῦ ἑνὸς μόρια, οὔτε ὅλα ὡς μορίῳ τῷ ἑνί. Οὐ γάρ. Ἀλλὰ μὴν ἔφαμεν, τὰ μήτε μόρια, μήτε ὅλα, μήτε ἕτερα ἀλλήλων, τὰ αὐτὰ ἔσεσθαι ἀλλήλοις. Ἔφαμεν γάρ. Φῶμεν ἄρα καὶ τὸ ἓν πρὸς τὰ μὴ ἓν οὕτως ἔχον, τὸ αὐτὸ εἶναι αὐτοῖς; Φῶμεν. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, ἕτερόν τε τῶν ἄλλων ἐστὶ καὶ ἑαυτοῦ, καὶ ταὐτὸν ἐκείνοις τε καὶ ἑαυτῷ. Κινδυνεύει φαίνεσθαι, ἔκ γε τοῦ λόγου. Ἆρ᾽ οὖν καὶ ὅμοιόν τε καὶ ἀνόμοιον ἑαυτῷ τε καὶ τοῖς ἄλλοις; Ἴσως. Ἐπειδὴ γοῦν ἕτερον τῶν ἄλλων ἐφάνη, καὶ τἆλλά που ἕτερ᾽ ἂν ἐκείνου εἴη. Τί μήν; Οὐκοῦν ἕτερον τῶν ἄλλων, ὥσπερ καὶ τἆλλα ἐκείνου; καὶ οὔτε μᾶλλον οὔτε ἧττον; Τί γάρ; Εἰ ἄρα μήτε μᾶλλον μήτε ἧττον, ὁμοίως. Ναί. Οὐκοῦν ᾗ ἕτερον εἶναι πέπονθε τῶν ἄλλων, καὶ τἆλλα ἐκείνου ὡσαύτως, ταύτῃ ταὐτὸν ἂν πεπονθότα εἶεν· καὶ τό, τε ἓν τοῖς ἄλλοις, καὶ τἆλλα τῷ ἑνί. Πῶς λέγεις; Ὧδε. ἕκαστον τῶν ὀνομάτων οὐκ ἐπί τινι καλεῖς; Ἔγωγε. Τί οὖν; τὸ αὐτὸ ὄνομα εἴποις ἂν πλεονάκις, ἢ ἅπαξ; Ἔγωγε.

Πότερον οὖν, ἐὰν μὲν ἅπαξ εἴπῃς, ἐκεῖνο προσαγορεύεις οὗπέρ ἐστι τοὔνομα; ἐὰν δὲ πολλάκις, οὐκ ἐκεῖνο; ἢ, ἐάν τε ἅπαξ ἐάν τε πολλάκις τὸ αὐτὸ ὄνομα φθέγξῃ, πολλὴ ἀνάγκη σὲ τὸ αὐτὸ καὶ λέγειν ἀεί; Τί μήν; Οὐκοῦν καὶ τὸ ἕτερον ὄνομά ἐστιν ἐπί τινι; Πάνυ γε. Ὅταν ἄρα αὐτὸ φθέγγῃ, ἐάν τε ἅπαξ, ἐάν τε πολλάκις, οὐκ ἐπ' ἄλλῳ οὐδὲ ἄλλό τι ὀνομάζεις ἢ 'κεῖνο οὗπερ ἦν ὄνομα. Ἀνάγκη. Ὅταν δὴ λέγωμεν ὅτι ἕτερον μὲν τἆλλα τοῦ ἑνός, ἕτερον δὲ τὸ ἓν τῶν ἄλλων, δὶς τὸ ἕτερον εἰπόντες, οὐδέν τι μᾶλλον ἐπ' ἄλλῃ ἀλλ' ἐπ' ἐκείνῃ τῇ φύσει αὐτὸ ἀεὶ λέγομεν ἧσπερ ἦν τοὔνομα. Πάνυ μὲν οὖν. Εἰ ἄρα ἕτερον τῶν ἄλλων τὸ ἕν, καὶ τἆλλα τοῦ ἑνός, κατὰ ταὐτὸ ἕτερον πεπονθέναι, οὐκ ἄλλο, ἀλλὰ τὸ αὐτὸ ἂν πεπονθὸς εἴη τὸ ἐν τοῖς ἄλλοις. τὸ δέ που ταὐτὸν πεπονθὸς, ὅμοιον. οὐχί; Ναί. Ἡ δὴ τὸ ἓν ἕτερον τῶν ἄλλων πέπονθεν εἶναι, κατ' αὐτὸ τοῦτο ἅπαν ἅπασιν ὅμοιον ἂν εἴη. ἅπαν γὰρ ἁπάντων ἕτερόν ἐστιν. Ἔοικεν. Ἀλλ' ἦν τό γε ὅμοιον τῷ ἀνομοίῳ ἐναντίον; Ναί. Οὐκοῦν καὶ τὸ ἕτερον τῷ ταὐτῷ αὐτῷ; Καὶ τοῦτο. Ἀλλὰ μὴν καὶ τοῦτό γ' ἐφάνη, ὡς ἄρα τὸ ἓν τοῖς ἄλλοις ταὐτόν τε καὶ ἕτερον. Ἐφάνη γάρ. Τοὐναντίον δέ γε πάθος ἐστὶ τὸ εἶναι τὸ αὐτὸ τοῖς ἄλλοις, τῷ ἕτερον εἶναι τῶν ἄλλων. Πάνυ γε. Ἡ γε μὴν ἕτερον, ὅμοιον ἐφάνη. Ναί. Ἡ ἄρα ταὐτὸν, ἀνόμοιον ἔσται, κατὰ τοὐναντίον πάθος τῷ ὁμοιοῦντι πάθει. ὁμοίου δέ που τὸ ἕτερον; Ναί. Ἀνομοιώσει ἄρα τὸ ταὐτόν· ἢ οὐκ ἐναντίον ἔσται τῷ ἑτέρῳ. Ἔοικεν. Ὅμοιον ἄρα καὶ ἀνόμοιον ἔσται

τὸ ἓν τοῖς ἄλλοις· ᾗ μὲν ἕτερον, ὅμοιον· ᾗ δὲ ταὐτὸν, ἀνόμοιον. Ἔχει γὰρ οὖν δὴ, ὡς ἔοικε, καὶ τοιοῦτον λόγον. Καὶ γὰρ τόνδε ἔχει. Τίνα; Ἡ ταὐτὸν πέπονθε, μὴ ἀλλοῖον πεπονθέναι· μὴ ἀλλοῖον δὲ πεπονθὸς, μὴ ἀνόμοιον· μὴ ἀνόμοιον δὲ, ὅμοιον εἶναι. ᾗ δ᾽ ἄλλο πέπονθεν, ἀλλοῖον· ἀλλοῖον δὲ ὂν, ἀνόμοιον εἶναι. Ἀληθῆ λέγεις. Ταὐτόν τε ἄρα ὂν τὸ ἓν τοῖς ἄλλοις, καὶ ὅτι ἕτερόν ἐστι, κατ᾽ ἀμφότερα καὶ καθ᾽ ἑκάτερον, ὅμοιόν τε ἂν εἴη καὶ ἀνόμοιον τοῖς ἄλλοις. Πάνυ γε. Οὐκοῦν καὶ ἑαυτῷ ὡσαύτως, ἐπείπερ ἕτερόν τε ἑαυτοῦ καὶ ταὐτὸν ἑαυτῷ ἐφάνη, κατ᾽ ἀμφότερα καὶ κατὰ ἑκάτερον ὅμοιόν τε καὶ ἀνόμοιον φανήσεται; Ἀνάγκη. Τὸ δὲ δὴ περὶ τοῦ ἅπτεσθαι τὸ ἓν αὑτοῦ καὶ τῶν ἄλλων, καὶ τοῦ μὴ ἅπτεσθαι πέρι, πῶς ἔχει, σκόπει. Σκοπῶ. Αὐτὸ γάρ που ἐν ἑαυτῷ ὅλῳ τὸ ἓν ἐφάνη ὄν. Ὀρθῶς. Οὐκοῦν καὶ ἐν τοῖς ἄλλοις τὸ ἕν; Ναί. Ἡ μὲν ἄρα ἐν τοῖς ἄλλοις, τῶν ἄλλων ἅπτοιτο ἄν· ᾗ δὲ αὐτὸ ἐν ἑαυτῷ, τῶν μὲν ἄλλων ἀπείργοιτο ἅπτεσθαι, αὐτὸ δὲ αὑτοῦ ἅπτοιτο ἂν, ἐν ἑαυτῷ ὄν. Φαίνεται. Οὕτω μὲν δὴ ἅπτοιτο ἂν τὸ ἓν αὑτοῦ τε καὶ τῶν ἄλλων. Ἅπτοιτο. Τί δὲ τῇδε; ἆρ᾽ οὐ πᾶν τὸ μέλλον ἅψεσθαι τινὸς, ἐφεξῆς δεῖ κεῖσθαι ἐκείνῳ οὗ μέλλει ἅπτεσθαι, ταύτην τὴν ἕδραν κατέχον ᾗ ἂν μετ᾽ ἐκείνην ᾖ ἕδρα ᾗ ἂν κέηται ἅπτεται; Ἀνάγκη. Καὶ τὸ ἓν ἄρα, εἰ μέλλει αὐτὸ αὑτοῦ ἅπτεσθαι, ἐφεξῆς δεῖ εὐθὺς μετὰ ἑαυτὸ κεῖσθαι, τὴν ἐχομένην χώραν κατέχον ἐκείνης ἐν ᾗ αὐτό ἐστι. Δεῖ γὰρ οὖν. Οὐκοῦν δύο μὲν ὂν τὸ ἓν, ποιήσειεν ἂν ταῦτα, καὶ ἐν δυοῖν χώραιν

ἅμα γένοιτο; ἕως δ' ἂν ᾖ ἕν, οὐκ ἐθελήσει; Οὐ γὰρ οὖν. Ἡ αὐτὴ ἄρα ἀνάγκη τῷ ἑνὶ, μήτε δύο εἶναι, μήτε ἅπτεσθαι αὐτὸ αὑτοῦ. Ἡ αὐτή. Ἀλλ' οὐδέ μὴν τῶν ἄλλων ἅψεται. Τί δή; Ὅτι φαμὲν τὸ μέλλον ἅψεσθαι, χωρὶς ὂν, ἐφεξῆς δεῖν ἐκείνῳ εἶναι οὗ μέλλει ἅπτεσθαι· τρίτον δὲ αὐτῶν ἐν μέσῳ μηδὲν εἶναι. Ἀληθῆ. Δύο ἄρα δεῖ, τὸ ὀλίγιστον, εἶναι, εἰ μέλλει ἅψις εἶναι. Δεῖ. Ἐὰν δὲ τοῖν δυοῖν ὅροιν τρίτον προσγένηται ἑξῆς, αὐτὰ μὲν, τρία ἔσται· αἱ δὲ ἅψεις, δύο. Ναί. Καὶ οὕτω δὴ ἀεὶ ἑνὸς προσγιγνομένου, μία ἅψις προσγίγνεται, καὶ συμβαίνει τὰς ἅψεις τοῦ πλήθους τῶν ἀριθμῶν μιᾷ ἐλάττους εἶναι. ᾧ γὰρ τὰ πρῶτα δύο ἐπλεονέκτησε τῶν ἅψεων, εἰς τὸ πλείω εἶναι τὸν ἀριθμὸν ἢ τὰς ἅψεις, τῷ ἴσῳ τούτῳ καὶ ὁ ἔπειτα ἀριθμὸς πᾶς πασῶν τῶν ἅψεων πλεονεκτεῖ. ἤδη γὰρ τολοιπὸν ἅμα ἕν τε τῷ ἀριθμῷ προσγίνεται καὶ μία ἅψις ταῖς ἅψεσιν. Ὀρθῶς. Ὅσα ἄρα ἐστὶ τὰ ὄντα τὸν ἀριθμὸν, ἀεὶ μιᾷ αἱ ἅψεις ἐλάττους εἰσὶν αὐτῶν. Ἀληθῆ. Εἰ δέ γε ἓν μόνον ἐστὶ, δυὰς δὲ μὴ ἔστιν, ἅψις οὐκ ἂν εἴη. Πῶς γάρ; Οὐκοῦν φαμὲν, τὰ ἄλλα τοῦ ἑνὸς, οὔτε ἕν ἐστιν, οὔτε μετέχει αὐτοῦ, εἴπερ ἄλλα ἐστίν. Οὐ γάρ. Οὐκ ἄρα ἕν ἐστιν ἀριθμὸς ἐν τοῖς ἄλλοις, ἑνὸς μὴ ὄντος ἐν αὐτοῖς. Πῶς γάρ; Οὔτ' ἄρα ἕν ἐστι τὰ ἄλλα, οὔτε δύο, οὔτε ἄλλου ἀριθμοῦ ἔχοντα ὄνομα οὐδέν. Οὔ. Τὸ ἓν ἄρα μόνον ἐστὶν ἕν, καὶ δυὰς οὐκ ἂν εἴη. Οὐ φαίνεται. Ἅψις ἄρα οὐκ ἔστι, δυοῖν μὴ ὄντοιν. Οὐκ ἔστιν. Οὔτ' ἄρα τὸ ἓν τῶν ἄλλων ἅπτεται, οὔτε τἄλλα τοῦ ἑνός· ἐπείπερ ἅψις οὐκ ἔστιν. Οὐ γάρ.

οὖν. Οὕτω δὴ κατὰ πάντα ταῦτα τὸ ἓν τῶν ἄλλων καὶ ἑαυτοῦ ἅπτεταί τε καὶ οὐχ ἅπτεται. Ἔοικεν. Ἆρ' οὖν καὶ ἴσον ἐστὶ καὶ ἄνισον αὐτῷ τε καὶ τοῖς ἄλλοις; Πῶς; Εἰ μεῖζον εἴη τὸ ἓν ἢ τἄλλα, ἢ ἔλαττον, ἢ αὖ τἄλλα τοῦ ἑνὸς μείζω ἢ ἐλάττω, ἆρα οὐκ ἂν τῷ μὲν ἓν εἶναι τὸ ἕν, καὶ τἄλλα, ἄλλα τοῦ ἑνός, οὔτε τι μείζω οὔτε τι ἐλάττω ἂν εἴη ἀλλήλων αὐταῖς γε ταύταις ταῖς οὐσίαις; ἀλλ' εἰ μὲν πρὸς τῷ τοιαῦτα εἶναι ἑκάτερα ἰσότητα ἔχοιεν, ἴσα ἂν εἴη πρὸς ἄλληλα; εἰ δὲ τὰ μέν, μέγεθος, τὸ δέ, σμικρότητα, ἢ καὶ μέγεθος μὲν τὸ ἕν, σμικρότητα δὲ τἄλλα, ὁποτέρῳ μὲν τῷ εἴδει μέγεθος προσείη, μεῖζον ἂν εἴη, ᾧ δὲ σμικρότης, ἔλαττον; Ἀνάγκη. Οὐκοῦν ἐστόν γε τινὲ τούτω εἴδη τό, τε μέγεθος καὶ ἡ σμικρότης; οὐ γὰρ ἄν που, μὴ ὄντε γε, ἐναντίω τε ἀλλήλοιν ἤτην, καὶ ἐν τοῖς οὖσιν ἐγγιγνοίσθην. Πῶς γὰρ ἄν; Εἰ ἄρα ἐν τῷ ἑνὶ σμικρότης ἐγγίγνεται, ἤτοι ἐν ὅλῳ ἂν ἢ ἐν μέρει αὐτοῦ ἐνείη. Ἀνάγκη. Τί δ' εἰ ἐν ὅλῳ ἐγγίγνοιτο, οὐχὶ ἢ ἐξ ἴσου ἂν τῷ ἑνὶ δι' ὅλου αὐτοῦ τεταμένη εἴη, ἢ περιέχουσα αὐτό; Δῆλον δή. Ἆρ' οὐκ ἐξ ἴσου μὲν οὖσα ἡ σμικρότης τῷ ἑνί, ἴση ἂν αὐτῷ εἴη; περιέχουσα δέ, μείζων; Πῶς δ' οὔ; Δυνατὸν οὖν σμικρότητα ἴσην τῳ εἶναι, ἢ μείζω τινός; καὶ πράττειν γε τὰ μεγέθους τε καὶ ἰσότητος, ἀλλὰ μὴ τὰ ἑαυτῆς; Ἀδύνατον. Ἐν μὲν ὅλῳ ἄρα τῷ ἑνὶ οὐκ ἂν εἴη σμικρότης· ἀλλ' εἴπερ, ἐν μέρει. Ναί. Οὔτι γε ἐν παντὶ αὖ τῷ μέρει. εἰ δὲ μή, ταὐτὰ ποιήσει ἅπερ πρὸς τὸ ὅλον ἴση ἔσται, ἢ μείζων τοῦ μέρους ἐν ᾧ ἂν ἀεὶ ἐνῇ. Ἀνάγκη. Οὐδενί ποτε ἄρα ἐνέσται

ὄντων σμικρότης, μήτ' ἐν μέρει μήτ' ἐν ὅλῳ ἐγγιγνομένη· οὐδέ τι ἔσται σμικρὸν πλὴν αὐτῆς τῆς σμικρότητος. Οὐκ ἔοικεν. Οὐδ' ἄρα μέγεθος ἐνέσται ἐν αὐτῷ. μεῖζον γὰρ ἄν τι εἴη ἄλλο, καὶ πλὴν αὐτοῦ μεγέθους, ἐκεῖνο ἐν ᾧ τὸ μέγεθος ἐνείη· καὶ ταῦτα, σμικροῦ αὐτοῦ οὐκ ὄντος· οὗ ἀνάγκη ὑπερέχειν ἐάνπερ ᾖ μέγα. τοῦτο δὲ ἀδύνατον, ἐπειδὴ σμικρότης οὐδαμοῦ ἔνι. Ἀληθῆ. Ἀλλὰ μὴν αὐτὸ μέγεθος, οὐκ ἄλλου μεῖζον ἢ αὐτῆς σμικρότητος· οὐδὲ σμικρότης ἄλλου ἔλαττον ἢ αὐτοῦ μεγέθους. Οὐ γάρ. Οὔτε ἄρα τἄλλα μείζω τοῦ ἑνὸς, οὐδὲ ἐλάττω, μήτε μέγεθος μήτε σμικρότητα ἔχοντα. οὔτε αὐτὼ τούτω πρός τὸ ἓν ἔχετον τὴν δύναμιν τὴν τοῦ ὑπερέχειν τε καὶ ὑπερέχεσθαι, ἀλλὰ πρὸς ἀλλήλω. οὔτε αὖ τὸ ἓν τούτοιν οὐδὲ τῶν ἄλλων μεῖζον ἂν οὐδ' ἔλαττον εἴη, μήτε μέγεθος μήτε σμικρότητα ἔχον. Οὔκουν φαίνεταί γε. Ἆρ' οὖν, εἰ μήτε μεῖζον μήτε ἔλαττον τὸ ἓν τῶν ἄλλων, ἀνάγκη αὐτὸ ἐκείνων μήτε ὑπερέχειν μήτε ὑπερέχεσθαι; Ἀνάγκη. Οὐκοῦν τόγε μήτε ὑπερέχον μήτε ὑπερεχόμενον, πολλὴ ἀνάγκη ἐξ ἴσου εἶναι· ἐξ ἴσου δὲ ὂν, ἴσον εἶναι. Πῶς γὰρ οὔ; Καὶ μὴν καὶ αὐτό γε τὸ ἓν πρὸς ἑαυτὸ οὕτως ἂν ἔχοι· μήτε μέγεθος ἐν ἑαυτῷ μήτε σμικρότητα ἔχον, οὔτ' ἂν ὑπερέχοιτο οὔτ' ἂν ὑπερέχοι ἑαυτοῦ· ἀλλ' ἐξ ἴσου ὂν, ἴσον ἀεὶ εἴη ἑαυτῷ. Πάνυ μὲν οὖν. Τὸ ἓν ἄρα ἑαυτῷ τε καὶ τοῖς ἄλλοις ἴσον ἂν εἴη. Φαίνεται. Καὶ μὴν αὐτό γε ἐν ἑαυτῷ ὂν, καὶ περὶ ἑαυτὸ ἂν εἴη ἔξωθεν· καὶ περιέχον μὲν, μεῖζον ἂν ἑαυτοῦ εἴη· περιεχόμενον δέ, ἔλαττον. καὶ οὕτω μεῖζον ἂν καὶ ἔλαττον εἴη

αὐτὸ ἑαυτοῦ τὸ ἕν. Εἴη γὰρ ἄν. Οὐκοῦν καὶ τὸ ἀνάγκη, μηδὲν εἶναι ἐκτὸς τοῦ ἑνός τε καὶ τῶν ἄλλων; Πῶς γὰρ οὔ; Ἀλλὰ μὴν καὶ εἶναί που δεῖ τόγε ὂν ἀεί. Ναί. Οὐκοῦν τόγε ἔν τῳ ὂν, ἐν μείζονι ἔσται, ἔλαττον ὄν; οὐ γὰρ ἂν ἄλλως ἕτερον ἐν ἑτέρῳ εἴη. Οὐ γάρ. Ἐπειδὴ δὲ οὐδὲν ἕτερόν ἐστι χωρὶς τῶν ἄλλων καὶ τοῦ ἑνὸς, δεῖ δὲ αὐτὰ ἔν τῳ εἶναι, οὐκ ἀνάγκη ἤδη ἐν ἀλλήλοις εἶναι, τά τε ἄλλα ἐν τῷ ἑνὶ, καὶ τὸ ἓν ἐν τοῖς ἄλλοις; ἢ μηδαμοῦ εἶναι; Φαίνεται. Ὅτι μὲν ἄρα τὸ ἓν ἐν τοῖς ἄλλοις ἔνεστι, μείζω ἂν εἴη τἄλλα τοῦ ἑνὸς, περιέχοντα αὐτό· τὸ δὲ ἕν, ἔλαττον τῶν ἄλλων, περιεχόμενον. ὅτι δὲ τἄλλα ἐν τῷ ἑνὶ, τὸ ἓν τῶν ἄλλων κατὰ τὸν αὐτὸν λόγον μεῖζον ἂν εἴη· τὰ δὲ ἄλλα τοῦ ἑνὸς, ἐλάττω. Ἔοικε. Τὸ ἓν ἄρα ἴσον τε καὶ μεῖζον καὶ ἔλαττόν ἐστιν αὐτό τε αὐτοῦ καὶ τῶν ἄλλων. Φαίνεται. Καὶ μὴν, εἴπερ μεῖζον, καὶ ἴσον καὶ ἔλαττον, ἴσων ἂν εἴη μέτρων καὶ πλειόνων καὶ ἐλαττόνων αὑτῷ καὶ τοῖς ἄλλοις· ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν. Πῶς δ' οὔ; Ἴσων ἄρα μέτρων ὂν, καὶ πλειόνων καὶ ἐλαττόνων, καὶ ἀριθμῷ ἔλαττον ἂν καὶ πλέον εἴη αὐτό τε αὑτοῦ καὶ τῶν ἄλλων, καὶ ἴσον αὑτῷ τε καὶ τοῖς ἄλλοις κατὰ ταὐτά. Πῶς; Ὧνπερ μεῖζόν ἐστι, πλειόνων που καὶ μέτρων ἂν εἴη αὐτῶν· ὅσων δὲ μέτρων, καὶ μερῶν. καὶ ὧνπερ ἔλαττον, ὡσαύτως· καὶ οἷς ἴσον, κατὰ ταὐτά. Οὕτως. Οὐκοῦν ἑαυτοῦ μεῖζον καὶ ἔλαττον ὂν, καὶ ἴσον, ἴσων ἂν εἴη μέτρων, καὶ πλειόνων καὶ ἐλαττόνων αὑτῷ; ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν; Πῶς δ' οὔ; Ἴσων μὲν ἄρα μερῶν ὂν αὑτῷ, ἴσον ἂν τὸ πλῆ-

θος αὐτῷ εἴη· πλειόνων δὲ, πλέον· ἐλαττόνων δὲ, ἔλαττον τὸν ἀριθμὸν αὑτοῦ. Φαίνεται. Οὐκοῦν καὶ πρὸς τἄλλα ὡσαύτως ἕξει τὸ ἕν; ὅτι μὲν μεῖζον αὐτῶν φαίνεται, ἀνάγκη πλέον εἶναι καὶ τὸν ἀριθμὸν αὐτῶν; ὅτι δὲ σμικρότερον, ἔλαττον; ὅτι δὲ ἴσον μεγέθει, ἴσον καὶ τὸ πλῆθος εἶναι τοῖς ἄλλοις; Ἀνάγκη. Οὕτω δὴ αὖ, ὡς ἔοικε, τὸ ἕν, καὶ ἴσον, καὶ πλέον καὶ ἔλαττον τὸν ἀριθμὸν αὐτό τε αὑτοῦ ἔσται καὶ τῶν ἄλλων. Ἔσται. Ἆρ' οὖν καὶ χρόνου μετέχει τὸ ἕν; καὶ ἐστί τε καὶ γίγνεται νεώτερόν τε καὶ πρεσβύτερον αὐτό τε αὑτοῦ καὶ τῶν ἄλλων; καὶ οὔτε νεώτερον οὔτε πρεσβύτερον οὔτε ἑαυτοῦ οὔτε τῶν ἄλλων, χρόνου μετέχον; Πῶς; Εἶναι μέν που αὐτῷ ὑπάρχει, εἴπερ ἕν ἐστι. Ναί. Τὸ δὲ εἶναι ἄλλό τι ἐστὶν ἢ μέθεξις οὐσίας μετὰ χρόνου τοῦ παρόντος; ὥσπερ τὸ ἦν μετὰ τοῦ παρεληλυθότος, καὶ αὖ τὸ ἔσται μετὰ τοῦ μέλλοντος, οὐσίας ἐστὶ κοινωνία; Ἔστι γάρ. Μετέχειν μὲν ἄρα ἔστι χρόνου, εἴπερ καὶ τοῦ εἶναι. Πάνυ γε. Οὐκοῦν πορευομένου τοῦ χρόνου; Ναί. Ἀεὶ ἄρα πρεσβύτερον γίγνεται ἑαυτοῦ, εἴπερ προέρχεται κατὰ χρόνον. Ἀνάγκη. Ἆρ' οὖν μεμνήμεθα, ὅτι νεωτέρου γιγνομένου τὸ πρεσβύτερον πρεσβύτερον γίγνεται; Μεμνήμεθα. Οὐκοῦν, ἐπειδὴ πρεσβύτερον ἑαυτοῦ γίγνεται τὸ ἕν, νεωτέρου ἂν γιγνομένου ἑαυτοῦ πρεσβύτερον γίγνοιτο; Ἀνάγκη. Γίγνεται μὲν δὴ νεώτερόν τε καὶ πρεσβύτερον αὑτοῦ οὕτω. Ναί. Ἔστι δὲ πρεσβύτερον ἆρ' οὐχ ὅταν κατὰ τὸν νῦν χρόνον ᾖ γιγνόμενον, τὸν μεταξὺ τοῦ ἦν τε καὶ ἔσται; οὐ γάρ που πορευόμενόν γε ἐκ τοῦ ποτὲ

εἰς τὸ ἔπειτα ὑπερβήσεται τὸ νῦν. Οὐ γάρ. Ἆρ᾽ οὖν οὐκ ἐπίσχει τότε τοῦ γίγνεσθαι πρεσβύτερον, ἐπειδὰν τῷ νῦν ἐντύχῃ; καὶ οὐ γίγνεται, ἀλλ᾽ ἔστι τότ᾽ ἤδη πρεσβύτερον; προϊὸν γὰρ οὐκ ἄν ποτε ληφθείη ὑπὸ τοῦ νῦν. τὸ γὰρ προϊὸν, οὕτως ἔχει ὡς ἀμφοτέρων ἐφάπτεσθαι, τοῦ τε νῦν καὶ τοῦ ἔπειτα· τοῦ μὲν νῦν ἀφιέμενον, τοῦ δ᾽ ἔπειτα ἐπιλαμβανόμενον· μεταξὺ ἀμφοτέρων γιγνόμενον, τοῦ τε ἔπειτα καὶ τοῦ νῦν. Ἀληθῆ. Εἰ δέ γε ἀνάγκη μὴ παρελθεῖν τὸ νῦν πᾶν τὸ γιγνόμενον, ἐπειδὰν κατὰ τοῦτο ᾖ, ἐπίσχει ἀεὶ τοῦ γίγνεσθαι· καὶ ἔστι τότε τοῦτο ὅ, τι ἂν τύχοι γιγνόμενον. Φαίνεται. Καὶ τὸ ἓν ἄρα, ὅταν πρεσβύτερον γιγνόμενον ἐντύχῃ τῷ νῦν, ἐπέσχε τοῦ γίγνεσθαι, καὶ ἔστι τότε πρεσβύτερον. Πάνυ μὲν οὖν. Οὐκοῦν οὗπερ ἐγίγνετο πρεσβύτερον, τούτου καὶ ἔστιν; ἐγίγνετο δὲ αὑτοῦ; Ναί. Ἔστι δὲ τὸ πρεσβύτερον νεωτέρου πρεσβύτερον; Ἔστι. Καὶ νεώτερον ἄρα τότε αὑτοῦ ἐστι τὸ ἓν, ὅταν πρεσβύτερον γιγνόμενον ἐντύχῃ τῷ νῦν. Ἀνάγκη. Τό γε μὴν νῦν ἀεὶ πάρεστι τῷ ἑνὶ διὰ παντὸς τοῦ εἶναι. ἔστι γὰρ ἀεὶ νῦν ὅταν περ ᾖ. Πῶς γὰρ οὔ; Ἀεὶ ἄρα ἐστί τε καὶ γίγνεται πρεσβύτερον ἑαυτοῦ καὶ νεώτερον τὸ ἕν. Ἔοικε. Πλείω δὲ χρόνον αὐτὸ ἑαυτοῦ ἐστιν ἢ γίγνεται; ἢ τὸν ἴσον; Τὸν ἴσον. Ἀλλὰ μὴν τόν γε ἴσον χρόνον ἢ γιγνόμενον ἢ ὂν, τὴν αὐτὴν ἡλικίαν ἔχει. Πῶς δ᾽ οὔ; Τὸ δὲ τὴν αὐτὴν ἡλικίαν ἔχον, οὔτε πρεσβύτερον οὔτε νεώτερόν ἐστιν. Οὐ γάρ. Τὸ ἓν ἄρα τὸν ἴσον χρόνον αὐτὸ ἑαυτῷ καὶ γιγνόμενον καὶ ὂν, οὔτε νεώτερον, οὔτε πρεσβύτερον ἑαυτοῦ

ἐστιν, οὔτε γίγνεται. Οὔ μοι δοκεῖ. Τί δὲ τῶν ἄλλων; Οὐκ ἔχω λέγειν. Τόδε γε μὴν ἔχεις λέγειν, ὅτι τἄλλα τοῦ ἑνός, εἴπερ ἕτερά ἐστιν, ἀλλὰ μὴ ἕτερον, πλείω ἐστὶν ἑνός. ἕτερον μὲν γὰρ ὄν, ἓν ἂν ᾖ· ἕτερα δὲ ὄντα, πλείω ἑνός ἐστι, καὶ πλῆθος ἂν ἔχοι. Ἔχοι γὰρ ἄν. Πλῆθος δὲ ὄν, ἀριθμοῦ πλείονος ἂν μετέχοι ἢ τοῦ ἑνός. Πῶς δ' οὔ; Τί οὖν; ἀριθμοῦ φήσομεν τὰ πλείω γίγνεσθαί τε καὶ γεγονέναι πρότερον; ἢ τὰ ἐλάττω; Τὰ ἐλάττω. Τὸ ὀλίγιστον ἄρα πρῶτον. τοῦτο δ' ἔστι τὸ ἕν. ἦ γάρ; Ναί. Πάντων ἄρα τὸ ἓν πρῶτον γέγονε τῶν ἀριθμὸν ἐχόντων. ἔχει δὲ καὶ τἄλλα πάντα ἀριθμόν, εἴπερ ἄλλα καὶ μὴ ἄλλο ἐστίν. Ἔχει γάρ. Πρῶτον δέ γε, οἶμαι, γεγονὸς, πρότερον γέγονε· τὰ δὲ ἄλλα, ὕστερον. τὰ δ' ὕστερα γεγονότα, νεώτερα τοῦ πρότερον γεγονότος. καὶ οὕτως ἂν εἴη τὰ ἄλλα νεώτερα τοῦ ἑνός· τὸ δὲ ἕν, πρεσβύτερον τῶν ἄλλων. Εἴη γὰρ ἄν. Τί δὲ τόδε; ἆρ' ἂν εἴη τὸ ἓν παρὰ φύσιν τὴν αὑτοῦ γεγονός; ἢ ἀδύνατον; Ἀδύνατον. Ἀλλὰ μὴν μέρη γε ἔχον ἐφάνη τὸ ἕν. εἰ δὲ μέρη, καὶ ἀρχὴν καὶ τελευτὴν καὶ μέσον. Ναί. Οὐκοῦν πάντων πρῶτον ἀρχὴ γίγνεται, καὶ αὐτοῦ τοῦ ἑνὸς, καὶ ἑκάστου τῶν ἄλλων; καὶ μετὰ τὴν ἀρχὴν, καὶ τἄλλα πάντα μέχρι τοῦ τέλους; Τί μήν; Καὶ μὴν μόριά γε φήσομεν ταῦτ' εἶναι πάντα τἄλλα τοῦ ὅλου τε καὶ ἑνός· αὐτὸ δὲ ἐκεῖνο ἅμα τῇ τελευτῇ γεγονέναι ἕν τε καὶ ὅλον. Φήσομεν γάρ. Τελευτὴ δέ γε, οἶμαι, ὕστατον γίγνεται. τούτῳ δ' ἅμα τὸ ἓν πέφυκε γίγνεσθαι. ὥστ' εἴπερ ἀνάγκη αὐτὸ τὸ ἓν μὴ παρὰ φύσιν γίγνεσθαι, ἅμα τελευτῇ ἂν γεγονός, ὕ-

στατον ἂν τῶν ἄλλων πεφυκὸς εἴη γίγνεσθαι. Φαίνεται. Νεώτερον ἄρα τῶν ἄλλων τὸ ἕν ἐστι, τὰ δ᾽ ἄλλα τοῦ ἑνὸς πρεσβύτερα. Οὕτως αὖ μοι φαίνεται. Τί δὲ δή; ἀρχὴν, ἢ ἄλλο μέρος ὁτιοῦν τοῦ ἑνὸς, ἢ ἄλλου ὁτουοῦν, ἐάνπερ μέρος ᾖ, ἀλλὰ μὴ μέρη, οὐκ ἀναγκαῖον ἓν εἶναι, μέρος γε ὄν; Ἀνάγκη. Οὐκοῦν τὸ ἓν ἅμα τε τῷ πρώτῳ γιγνομένῳ γίγνοιτ᾽ ἂν, καὶ ἅμα τῷ δευτέρῳ· καὶ οὐδενὸς ἀπολείπεται τῶν ἄλλων γιγνομένων, ὅ, τι περ ἂν προσγίγνηται ὁτῳοῦν, ἕως ἂν πρὸς τὸ ἔσχατον διελθὸν, ὅλον ἓν γένηται· οὔτε μέσου, οὔτε ἐσχάτου, οὔτε πρώτου, οὔτε ἄλλου οὐδενὸς ἀπολειφθὲν ἐν τῇ γενέσει. Ἀληθῆ. Πᾶσιν ἄρα τοῖς ἄλλοις τὴν αὐτὴν ἡλικίαν ἴσχει τὸ ἕν. ὥστ᾽ εἰ μὴ παρὰ φύσιν πέφυκεν αὐτὸ τὸ ἓν, οὔτε πρότερον οὔτε ὕστερον τῶν ἄλλων γεγονὸς ἂν εἴη, ἀλλ᾽ ἅμα. καὶ κατὰ τοῦτον τὸν λόγον τὸ ἓν τῶν ἄλλων οὔτε πρεσβύτερον οὔτε νεώτερον ἂν εἴη, οὐδὲ τἄλλα τοῦ ἑνός· κατὰ δὲ τὸν πρόσθεν, πρεσβύτερόν τε καὶ νεώτερον, καὶ τἄλλα ἐκείνου ὡσαύτως. Πάνυ μὲν οὖν. Ἔστι μὲν δὴ οὕτως ἔχον τε καὶ γεγονός. ἀλλὰ τί αὖ περὶ τοῦ γίγνεσθαι αὐτὸ πρεσβύτερόν τε καὶ νεώτερον τῶν ἄλλων, καὶ τἄλλα τοῦ ἑνὸς, καὶ μήτε νεώτερον μήτε πρεσβύτερον γίγνεσθαι; ἆρα ὥσπερ περὶ τοῦ εἶναι, οὕτω καὶ περὶ τοῦ γίγνεσθαι ἔχει; ἢ ἑτέρως; Οὐκ ἔχω λέγειν. Ἀλλ᾽ ἐγὼ τοσόνδε γε, ὅτι εἰ καὶ ἔστι πρεσβύτερον ἕτερον ἑτέρου, γίγνεσθαί γε αὐτὸ πρεσβύτερον ἔτι, ἢ ὡς τοπρῶτον εὐθὺς γενόμενον διήνεγκε τῇ ἡλικίᾳ, οὐκ ἂν ἔτι δύναιτο· οὐδ᾽ αὖ τὸ νεώτερον ὄν, ἔτι νεώτερον γίγνεσθ

ἀνίσοις γὰρ ἴσα προστιθέμενα, χρόνῳ τε καὶ ἄλλῳ ὁτῳοῦν, ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τοπρῶτον διενέγκῃ. Πῶς γὰρ οὔ; Οὐκ ἄρα τόγε ὂν τοῦ ἑνὸς ὄντος γίγνοιτ' ἂν ποτὲ πρεσβύτερον, οὔτε νεώτερον, εἴπερ ἴσῳ διαφέρει ἀεὶ τὴν ἡλικίαν· ἀλλ' ἔστι καὶ γέγονε πρεσβύτερον, τὸ δὲ, νεώτερον· γίγνεται δ' οὔ. Ἀληθῆ. Καὶ τὸ ἓν ἄρα ὂν, τῶν ἄλλων ὄντων οὔτε πρεσβύτερον ποτὲ, οὔτε νεώτερον γίγνεται. Οὐ γὰρ οὖν. Ὅρα δὲ εἰ τῇδε πρεσβύτερα καὶ νεώτερα γίγνεται. Πῇ δή; Ἡ τό, τε ἓν τῶν ἄλλων ἐφάνη πρεσβύτερον, καὶ τἄλλα τοῦ ἑνός. Τί οὖν; Ὅταν τὸ ἓν τῶν ἄλλων πρεσβύτερον ᾖ, πλείω χρόνον γέγονεν ἢ τἄλλα. Ναί. Πάλιν δὴ σκόπει· ἐὰν πλείονι καὶ ἐλάττονι χρόνῳ προστιθῶμεν τὸν ἴσον χρόνον, ἆρα τῷ ἴσῳ μορίῳ διοίσει τὸ πλέον τοῦ ἐλάττονος, ἢ σμικροτέρῳ; Σμικροτέρῳ. Οὐκ ἄρα ἔσται ὅ, τι περ τοπρῶτον ἦν πρὸς τἄλλα ἡλικίᾳ διαφέρον τὸ ἓν, τοῦτο καὶ εἰς τὸ ἔπειτα, ἀλλὰ ἴσον λαμβάνον χρόνον τοῖς ἄλλοις, ἔλαττον αἰεὶ τῇ ἡλικίᾳ διοίσει αὐτῶν ἢ πρότερον. ἢ οὔ; Ναί. Οὐκοῦν τό γε ἔλαττον διαφέρον ἡλικίᾳ πρός τι ἢ πρότερον, νεώτερον γίγνοιτ' ἂν ἢ ἐν τῷ πρόσθεν, πρὸς ἐκεῖνα πρὸς ἃ ἦν πρεσβύτερον πρότερον; Νεώτερον. Εἰ δὲ ἐκεῖνο νεώτερον, οὐκ ἐκεῖνα αὖ τὰ ἄλλα πρὸς τὸ ἓν πρεσβύτερα ἢ πρότερον; Πάνυ γε. Τὸ μὲν νεώτερον ἄρα γεγονὸς, πρεσβύτερον γίγνεται πρὸς τὸ πρότερον γεγονός τε καὶ πρεσβύτερον ὄν. ἔστι δὲ οὐδέποτε πρεσβύτερον, ἀλλὰ γίγνεται αἰεὶ ἐκείνου πρεσβύτερον. ἐκεῖνο μὲν γὰρ ἐπὶ τὸ νεώτερον ἐπιδίδωσι, τὸ δ' ἐπὶ τὸ πρεσ-

εἶναι ἀπόλλυται; Πάνυ γε. Ἓν δὲ γιγνόμενον καὶ πολλὰ, ἆρ' οὐκ ἀνάγκη διακρίνεσθαί τε καὶ συγκρίνεσθαι; Πολλή γε. Καὶ μὴν ἀνόμοιόν γε καὶ ὅμοιον ὅταν γίγνηται, ὁμοιοῦσθαί τε καὶ ἀνομοιοῦσθαι; Ναί. Καὶ ὅταν μεῖζον καὶ ἔλαττον καὶ ἴσον, αὐξάνεσθαί τε καὶ φθίνειν, καὶ ἰσοῦσθαι; Οὕτως. Ὅταν δὲ κινούμενόν τε ἵστηται, καὶ ὅταν ἑστὼς ἐπὶ τὸ κινεῖσθαι μεταβάλλῃ, δεῖ δήπου αὐτό γε μηδ' ἐν ἑνὶ χρόνῳ εἶναι. Πῶς δή; Ἑστώς τε πρότερον, ὕστερον κινεῖσθαι· καὶ πρότερον κινούμενον, ὕστερον ἑστάναι. ἄνευ μὲν τοῦ μεταβάλλειν οὐχ οἷόντε ἔσται ταῦτα πάσχειν. Πῶς γάρ; Χρόνος δέ γε οὐδείς ἐστιν ἐν ᾧ τι οἷόντε ἅμα μήτε κινεῖσθαι μήτε ἑστάναι. Οὐ γὰρ οὖν. Ἀλλ' οὐδὲ μὴν μεταβάλλει ἄνευ τοῦ μεταβάλλειν. Οὐκ εἰκός. Πότ' οὖν μεταβάλλει; οὔτε γὰρ ἑστὼς ἂν οὔτε κινούμενον μεταβάλλοι, οὔτε ἐν χρόνῳ ὄν. Οὐ γὰρ οὖν. Ἆρ' οὖν ἔστι τὸ ἄτοπον τοῦτο ἐν ᾧ τότ' ἂν εἴη ὅτε μεταβάλλει; Τὸ ποῖον δή; Τὸ ἐξαίφνης. τὸ γὰρ ἐξαίφνης τοιοῦτόν τι ἔοικε σημαίνειν, ὡς ἐξ ἐκείνου μεταβάλλον εἰς ἑκάτερον. οὐ γὰρ ἔκ γε τοῦ ἑστάναι ἑστῶτος ἔτι μεταβάλλει, οὐδ' ἐκ τῆς κινήσεως κινουμένης ἔτι μεταβάλλει· ἀλλὰ ἡ ἐξαίφνης αὕτη φύσις, ἄτοπός τις ἐγκάθηται, μεταξὺ τῆς κινήσεώς τε καὶ στάσεως, ἐν χρόνῳ οὐδὲν οὖσα. καὶ εἰς ταύτην δὴ καὶ ἐκ ταύτης τό, τε κινούμενο μεταβάλλει ἐπὶ τὸ ἑστάναι, καὶ τὸ ἑστὼς ἐπὶ τὸ κι νεῖσθαι. Κινδυνεύει. Καὶ τὸ ἓν δή, εἴπερ ἕστηκέ τ καὶ κινεῖται, μεταβάλλοι ἂν ἐφ' ἑκάτερα. μόνως γ ἂν οὕτως ἀμφότερα ποιοῖ. μεταβάλλον δ' ἐξαίφ

μεταβάλλει· καὶ ὅτε μεταβάλλει, ἐν οὐδενὶ χρόνῳ ἂν εἴη· οὐδὲ κινοῖτ' ἂν τότε, οὐδ' ἂν σταίη. Οὐ γάρ. Ἆρ' οὖν οὕτω καὶ πρὸς τὰς ἄλλας μεταβολὰς ἔχει, ὅταν ἐκ τοῦ εἶναι εἰς τὸ ἀπόλλυσθαι μεταβάλλῃ, ἢ ἐκ τοῦ μὴ εἶναι εἰς τὸ γίγνεσθαι, μεταξύ τινων τότε γίγνεται κινήσεών τε καὶ στάσεων; καὶ οὔτε ἔστι τότε, οὔτε οὐκ ἔστιν· οὔτε γίγνεται, οὔτε ἀπόλλυται; Ἔοικε γοῦν. Κατὰ δὴ τὸν αὐτὸν λόγον καὶ ἐξ ἑνὸς ἐπὶ πολλὰ ἰὸν, καὶ ἐκ πολλῶν ἐφ' ἕν, οὔτε ἕν ἐστιν, οὔτε πολλὰ, οὔτε διακρίνεται, οὔτε συγκρίνεται· καὶ ἐξ ὁμοίου ἐπὶ ἀνόμοιον, καὶ ἐξ ἀνομοίου ἐπὶ τὸ ὅμοιον ἰὸν, οὔτε ὅμοιον, οὔτε ἀνόμοιον· οὔτε ὁμοιούμενον, οὔτε ἀνομοιούμενον. καὶ ἐκ μικροῦ ἐπὶ μέγα, καὶ ἐπὶ ἴσον καὶ εἰς τἀναντία ἰὸν, οὔτε σμικρὸν, οὔτε μέγα, οὔτε ἴσον, οὔτε αὐξανόμενον, οὔτε φθίνον, οὔτε ἰσούμενον εἴη ἄν. Ἔοικε. Ταῦτα δὴ τὰ παθήματα πάντ' ἂν πάσχοι τὸ ἕν, εἰ ἔστι. Πῶς δ' οὔ; Τί δὲ τοῖς ἄλλοις προσήκοι ἂν πάσχειν, ἓν εἰ ἔστιν, ἆρα οὐ σκεπτέον; Σκεπτέον. Λέγωμεν δὴ, ἓν εἰ ἔστι, τἆλλα τοῦ ἑνὸς τί χρὴ πεπονθέναι. Λέγωμεν. Οὐκοῦν, ἐπείπερ ἄλλα τοῦ ἑνός ἐστιν, οὔτε τὸ ἕν ἐστι τἆλλα; οὐ γὰρ ἂν ἄλλα τοῦ ἑνὸς ἦν. Ὀρθῶς. Οὐδὲ μὴν στέρεταί γε παντάπασι τοῦ ἑνὸς τἆλλα, ἀλλὰ μετέχει πῃ. Πῇ δή; Ὅτι που τἆλλα τοῦ ἑνὸς μόρια ἔχοντα, ἄλλα ἐστίν. εἰ γὰρ μόρια μὴ ἔχει, παντελῶς ἂν ἓν εἴη. Ὀρθῶς. Μόρια δέ γε, φαμὲν, τούτου ἐστὶν ὃ ἂν ὅλον ᾖ. Φαμὲν γάρ. Ἀλλὰ μὴν τόγε ὅλον, ἓν ἐκ πολλῶν ἀνάγκη εἶναι, οὗ ἔσται μόρια τὰ μόρια. ἕκαστον γὰρ τῶν μορίων, οὐ πολλῶν μόριον χρὴ εἶναι,

ἀλλὰ ὅλου. Πῶς τοῦτο; Εἴ τι πολλῶν μόριον εἴη, ἐν οἷς ἂν αὐτὸ εἴη, ἑαυτοῦ τε δήπου μόριον ἔσται, ὅ ἐστιν ἀδύνατον, καὶ τῶν ἄλλων δὴ ἑνὸς ἑκάστου, εἴπερ καὶ πάντων. ἑνὸς γὰρ μὴ ὂν μόριον, πλὴν τούτου, τῶν ἄλλων ἔσται· καὶ οὕτως ἑνὸς ἑκάστου οὐκ ἔσται μόριον. μὴ ὂν δὲ μόριον ἑκάστου, οὐδενὸς τῶν πολλῶν ἔσται· μηδενὸς δὲ ὄν, πάντων τούτων τὶ εἶναι, ὧν οὐδενὸς οὐδέν ἐστι καὶ μόριον καὶ ἄλλο ὁτιοῦν, ἀδύνατον εἶναι. Φαίνεταί γε δή. Οὐκ ἄρα τῶν πολλῶν, οὐδὲ πάντων, τὸ μόριον, μόριον, ἀλλὰ μιᾶς τινος ἰδέας, καὶ ἑνός τινος, ὃ καλοῦμεν ὅλον, ἐξ ἁπάντων ἓν τέλειον γεγονός, τούτου μόριον ἂν τὸ μόριον εἴη. Παντάπασι μὲν οὖν. Εἰ ἄρα τἆλλα μόρια ἴσχει, κἂν τοῦ ὅλου τε καὶ ἑνὸς μετέχοι. Πάνυ γε. Ἓν ἄρα ὅλον τέλειον μόρια ἔχον, ἀνάγκη εἶναι τἆλλα τοῦ ἑνός. Ἀνάγκη. Καὶ μὴν καὶ περὶ τοῦ μορίου γε ἑκάστου ὁ αὐτὸς λόγος. καὶ γὰρ τούτου ἀνάγκη μετέχειν τοῦ ἑνός. εἰ γὰρ ἕκαστον αὐτῶν μόριόν ἐστι, τό γε ἕκαστον εἶναι, ἓν δήπου σημαίνει· ἀφωρισμένον μὲν τῶν ἄλλων, καθ᾽ αὑτὸ δὲ ὄν, εἴπερ ἕκαστον ἔσται. Ὀρθῶς. Μετέχοι δέ γε ἂν τοῦ ἑνός, δηλονότι ἄλλο ὂν ἢ ἕν. οὐ γὰρ ἂν μετεῖχεν, ἀλλ᾽ ἦν ἂν αὐτὸ ἕν. νῦν δὲ ἑνὶ μὲν εἶναι, πλὴν αὐτῷ τῷ ἑνί, ἀδύνατό[ν] που. Ἀδύνατον. Μετέχειν δέ γε τοῦ ἑνὸς ἀνάγκη τ[ῷ] τε ὅλῳ καὶ τῷ μορίῳ. τὸ μὲν γὰρ ἕν, ὅλον ἔσται, [οὗ] μόρια τὰ μόρια· τὸ δ᾽ αὖ ἕκαστον, ἓν μόριον τοῦ [ὅ]λου, ὃ ἂν ᾖ μόριον ὅλου. Οὕτως. Οὐκοῦν ἕτερα [ὄν]τα, τοῦ ἑνὸς μεθέξει τὰ μετέχοντα αὐτοῦ; Πῶ[ς δ᾽] οὔ; Τὰ δ᾽ ἕτερα τοῦ ἑνός, πολλά που εἴη ἄν: ε[ἰ]

μήτε ἓν, μήτε ἑνὸς πλείω εἴη τἆλλα τοῦ ἑνός, οὐδὲν ἂν εἴη. Οὐ γὰρ οὖν. Ἐπεὶ δέ γε πλείω ἑνός ἐστι τά τε τοῦ ἑνὸς μορίου, καὶ τὰ τοῦ ἑνὸς ὅλου μετέχοντα, οὐκ ἀνάγκη δὴ ἄπειρα πλήθει εἶναι αὐτά γε ἐκεῖνα τὰ μεταλαμβάνοντα τοῦ ἑνός; Πῶς; Ὧδε εἴδωμεν. ἄλλο τι οὐχ ἓν ὄντα, οὐδὲ μετέχοντα τοῦ ἑνὸς, τότε ὅτε μεταλαμβάνει αὐτοῦ, μεταλαμβάνει. Δηλαδή. Οὐκοῦν πλήθη ὄντα, ἐν οἷς τὸ ἓν οὐκ ἔνι; Πλήθη μέντοι. Τί οὖν; εἰ ἐθέλοιμεν τῇ διανοίᾳ τῶν τοιούτων ἀφελεῖν ὡς οἷοίτε ἐσμὲν ὅτι ὀλίγιστον, οὐκ ἀνάγκη καὶ τὸ ἀφαιρεθὲν ἐκεῖνο, εἴπερ τοῦ ἑνὸς μὴ μετέχοι, πλῆθος εἶναι, καὶ οὐχ ἕν; Ἀνάγκη. Οὐκοῦν οὕτως ἀεὶ σκοποῦντι αὐτὴν καθ' αὑτὴν τὴν ἑτέραν φύσιν τοῦ εἴδους, ὅσον ἂν αὐτῆς ἀεὶ ὁρῶμεν, ἄπειρον ἔσται πλήθει; Παντάπασι μὲν οὖν. Καὶ μὴν ἐπειδάν γε ἓν ἕκαστον μόριον γένηται, πέρας ἤδη ἔχει πρὸς ἄλληλα, καὶ πρὸς τὸ ὅλον, καὶ τὸ ὅλον πρὸς τὰ μόρια. Κομιδῇ μὲν οὖν. Τοῖς ἄλλοις δὴ τοῦ ἑνὸς συμβαίνει, ἐκ μὲν τοῦ ἑνὸς καὶ ἐξ ἑαυτῶν κοινωνησάντων, ὡς ἔοικεν, ἕτερόν τι γίγνεσθαι ἐν αὐτοῖς, ὃ δὴ πέρας παρέσχε πρὸς ἄλληλα· ἡ δὲ αὐτῶν φύσις καθ' ἑαυτά, ἀπειρίαν. Φαίνεται. Οὕτω δὴ τἆλλα τοῦ ἑνὸς, καὶ ὅλα καὶ κατὰ τὰ μόρια, ἄπειρά τέ ἐστι καὶ πέρατος μετέχει. Πάνυ γε. Οὐκοῦν καὶ ὅμοιά τε καὶ ἀνόμοια ἀλλήλοις τε καὶ ἑαυτοῖς; Πῇ δή; Ἧ μέν που ἄπειρά ἐστι κατὰ τὴν ἑαυτῶν φύσιν πάντα, ταὐτὸν πεπονθότα ἂν εἴη ταύτῃ. Πάνυ γε. Καὶ μὴν ᾗ γε ἅπαντα πέρατος μετέχει, καὶ ταύτῃ πάντ' ἂν εἴη ταὐτὸν πεπονθότα. Πῶς δ' οὔ; Ἧ δὲ

γε πεπερασμένα τε εἶναι καὶ ἄπειρα πέπονθεν, ἐναντία πάθη ἀλλήλοις ὄντα, ταῦτα τὰ πάθη πέπονθε. Ναί. Τὰ δ' ἐναντία γε, ὥς οἷόντε ἀνομοιότατα. Τί μήν; Κατὰ μὲν ἄρα ἑκάτερον τὸ πάθος ὅμοια ἂν εἴη αὐτά τε αὑτοῖς καὶ ἀλλήλοις· κατὰ δ' ἀμφότερα, ἀμφοτέρως ἐναντιώτατά τε καὶ ἀνομοιότατα. Κινδυνεύει. Οὕτω δὴ τἄλλα, ταὐτά τε αὑτοῖς καὶ ἀλλήλοις ὅμοιά τε καὶ ἀνόμοια εἴη ἄν. Οὕτω. Καὶ ταὐτὰ δὴ, καὶ ἕτερα ἀλλήλων, καὶ κινούμενα καὶ ἑστῶτα, καὶ πάντα τὰ ἐναντία πάθη, οὐκέτι χαλεπῶς εὑρήσομεν πεπονθότα τἄλλα τοῦ ἑνός· ἐπείπερ καὶ ταῦτα ἐφάνη πεπονθότα. Ὀρθῶς λέγεις. Οὐκοῦν εἰ ταῦτα μὲν ἤδη ἐῶμεν ὥς φανερὰ, ἐπισκοποῖμεν δὲ πάλιν, ἓν εἰ ἔστιν ἄρα, καὶ οὐχ οὕτως ἔχει τἄλλα τοῦ ἑνὸς, ἢ οὕτω μόνον; Πάνυ μὲν οὖν. Λέγωμεν δὴ ἐξ ἀρχῆς, ἓν εἰ ἔστι, τί χρὴ τἄλλα τοῦ ἑνὸς πεπονθέναι. Λέγωμεν γάρ. Ἆρ' οὖν χωρὶς μὲν τὸ ἓν τῶν ἄλλων, χωρὶς δὲ τἄλλα τοῦ ἑνός; Τί δή; Ὅτι που οὐκ ἔστι παρὰ ταῦτα ἕτερον, ὃ ἄλλο μέν ἐστι τοῦ ἑνὸς, ἄλλο δὲ τῶν ἄλλων. πάντα γὰρ εἴρηται, ὅταν ῥηθῇ τό, τε ἓν καὶ τἄλλα. Πάντα γάρ. Οὐκ ἄρα ἔτ' ἐστὶν ἕτερον τούτων, ἐν ᾧ τό, τε ἓν ἂν εἴη τῷ αὐτῷ, καὶ τἄλλα. Οὐ γάρ. Οὐδέποτε ἄρα ἐν ταὐτῷ ἐστι τὸ ἓν καὶ τἄλλα. Οὐκ ἔοικε. Χωρὶς ἄρα; Ναί. Οὐδὲ μὴν μόριά γε ἔχειν φαμὲν τὸ ὥς ἀληθῶς ἕν. Πῶς γάρ; Οὔτ' ἄρα ὅλον εἴη ἂν τὸ ἓν ἐν τοῖς ἄλλοις, οὔτε μόρια αὐτοῦ, εἰ χωρίς τε ἐστὶ τῶν ἄλλων καὶ μόρια μὴ ἔχῃ. Πῶς γὰρ οὔ; Οὐδενὶ ἄρα τρόπῳ μετέχοι ἂν τἄλλα τοῦ ἑνός, μήτε κατὰ μόριόν τι αὐτοῦ, μήτ

κατὰ ὅλον μετέχοντα. Οὐκ ἔοικεν. Οὐδαμῇ ἄρα ἓν τἄλλα ἐστὶν, οὐδ᾽ ἔχει ἐν ἑαυτοῖς ἓν οὐδέν. Οὐ γὰρ οὖν. Οὐδ᾽ ἄρα πολλά ἐστι τἄλλα. ἓν γὰρ ἂν ἦν ἕκαστον αὐτῶν μόριον τοῦ ὅλου, εἰ πολλὰ ἦν. νῦν δὲ οὔτε ἕν, οὔτε πολλὰ, οὔτε ὅλον, οὔτε μόριά ἐστι τἄλλα τοῦ ἑνός· ἐπειδὴ αὐτοῦ οὐδαμοῦ μετέχει. Ὀρθῶς. Οὐδ᾽ ἄρα δύο, οὔτε τρία, οὔτε τὰ αὐτά ἐστι τὰ ἄλλα, οὔτε ἓν ἐστιν ἐν αὐτοῖς, εἴπερ τοῦ ἑνὸς πανταχῇ στέρεται. Οὕτως. Οὐδὲ ὅμοια ἄρα καὶ ἀνόμοια, οὔτε ταὐτά ἐστι τῷ ἑνὶ τὰ ἄλλα, οὔτε ἔνεστιν ἐν αὐτοῖς ὁμοιότης καὶ ἀνομοιότης. εἰ γὰρ ὅμοια καὶ ἀνόμοια αὐτὰ εἴη, ἢ ἔχει ἐν ἑαυτοῖς ὁμοιότητα καὶ ἀνομοιότητα, δύο που εἴδη ἐναντία ἀλλήλοις ἔχοι ἂν ἐν ἑαυτοῖς τἄλλα τοῦ ἑνός. Φαίνεται. Ἦν δέ γε ἀδύνατον δυοῖν τινοῖν μετέχειν ἃ μηδενὸς μετέχει. Ἀδύνατον. Οὔτ᾽ ἄρα ὅμοια οὔτ᾽ ἀνόμοιά ἐστιν, οὔτ᾽ ἀμφότερα, τἄλλα. ὅμοια μὲν γὰρ ἂν ὄντα ἢ ἀνόμοια, ἑνὸς ἂν τοῦ ἑτέρου εἴδους μετέχοι· ἀμφότερα δὲ ὄντα, δυοῖν τοῖν ἐναντίοιν. ταῦτα δὲ ἀδύνατον ἐφάνη. Ἀληθῆ. Οὐδ᾽ ἄρα τὰ αὐτά, οὐδ᾽ ἕτερα· οὐδὲ κινούμενα, οὐδὲ ἑστῶτα· οὐδὲ γιγνόμενα, οὐδὲ ἀπολλύμενα· οὐδὲ μείζω, οὐδὲ ἐλάττω· οὐδὲ ἴσα· οὐδὲ ἄλλο οὐδὲν πέπονθε τῶν τοιούτων. εἰ γάρ τι τοιοῦτον πεπονθέναι ὑπομένει τἄλλα, καὶ ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ περιττοῦ καὶ ἀρτίου μεθέξει· ὧν αὐτοῖς ἀδύνατον ἐφάνη μετέχειν, τοῦ ἑνός γε πάντη πάντως στερομένοις. Ἀληθέστατα. Οὕτω δὴ ἓν εἰ ἔστι, πάντα τέ ἐστι τὸ ἕν, καὶ οὐδὲ ἕν ἐστι καὶ πρὸς ἑαυτὸ καὶ πρὸς τἄλλα ὡσαύτως. Παντελῶς

χει τὸ ἕν, πρὸς ἣν τἄλλα αὐτῷ ἐστιν ἄνισα; Μετέχει. Ἀλλὰ μέντοι ἀνισότητος ἐστὶ μέγεθός τε καὶ σμικρότης. Ἔστι γάρ. Ἔστιν ἄρα καὶ μέγεθός τε καὶ σμικρότης τῷ τοιούτῳ ἑνί; Κινδυνεύει. Μέγεθος μὴν καὶ σμικρότης ἀεὶ ἀφέστατον ἀλλήλοιν. Πάνυ γε. Μεταξὺ ἄρα τὶ αὐτοῖν ἀεί ἐστιν. Ἔστιν. Ἔχεις οὖν τι ἄλλο εἰπεῖν μεταξὺ αὐτοῖν ἢ ἰσότητα; Οὔκ· ἀλλὰ τοῦτο. Ὅτῳ ἄρα ἐστὶ μέγεθος καὶ σμικρότης, ἔστι καὶ ἰσότης αὐτῷ, μεταξὺ τούτοιν οὖσα. Φαίνεται. Τῷ δὲ ἑνὶ μὴ ὄντι, ὡς ἔοικε, καὶ ἰσότητος ἂν μετείη καὶ μεγέθους καὶ σμικρότητος. Ἔοικε. Καὶ μὴν οὐσίας γε δεῖ αὐτὸ μετέχειν πη. Πῶς δή; Ἔχειν αὐτὸ δεῖ οὕτως ὡς λέγομεν. εἰ γὰρ μὴ οὕτως ἔχει, οὐκ ἂν ἀληθῆ λέγοιμεν ἡμεῖς, λέγοντες τὸ ἓν μὴ εἶναι· εἰ δὲ ἀληθῆ, δῆλον ὅτι ὄντα αὐτὰ λέγομεν. ἢ οὐχ οὕτως; Οὕτω μὲν οὖν. Ἐπειδὴ δὲ φαμὲν ἀληθῆ λέγειν, ἀνάγκη ἡμῖν φάναι καὶ ὄντα λέγειν. Ἀνάγκη. Ἔστιν ἄρα, ὡς ἔοικε, τὸ ἓν οὐκ ὄν. εἰ γὰρ μὴ ἔσται μὴ ὂν, ἀλλά τι τοῦ εἶναι ἀνήσει πρὸς τὸ μὴ εἶναι, εὐθὺς ἔσται ὄν. Παντάπασι μὲν οὖν. Δεῖ ἄρα αὐτὸ δεσμὸν ἔχειν τοῦ μὴ εἶναι, τὸ εἶναι μὴ ὂν, εἰ μέλλει μὴ εἶναι· ὁμοίως ὥσπερ τὸ ὂν, τὸ μὴ ὂν ἔχειν μὴ εἶναι, ἵνα τελέως αὖ εἶναι ᾖ. οὕτως γὰρ ἂν τό, τε ὂν μάλιστ᾽ ἂν εἴη, καὶ τὸ μὴ ὂν οὐκ ἂν εἴη· μετέχοντα, τὸ μὲν ὂν, οὐσίας τοῦ εἶναι ὄν· μὴ οὐσίας δὲ, τοῦ εἶναι μὴ ὄν· εἰ μέλλει τελέως εἶναι. τὸ δὲ μὴ ὂν, μὴ οὐσίας μὲν τοῦ μὴ εἶναι μὴ ὂν, οὐσίας δὲ τοῦ εἶναι μὴ ὄν· εἰ καὶ τὸ μὴ ὂν αὖ τελέως ἔσται. Ἀληθέστατα. Οὐκοῦν, ἐπείπερ τῷ τε ὄντι, τοῦ μὴ εἶναι, καὶ

τῷ μὴ ὄντι, τοῦ εἶναι μέτεστι, καὶ τῷ ἑνὶ, ἐπειδὴ οὐκ ἔστι, τοῦ εἶναι ἀνάγκη μετεῖναι, εἰς τὸ μὴ εἶναι. Ἀνάγκη. Καὶ οὐσία δὴ φαίνεται τῷ ἑνὶ, εἰ μὴ ἔστι. Φαίνεται. Καὶ μὴ οὐσία ἄρα, εἴπερ μὴ ἔστι. Πῶς δ' οὔ; Οἷόντε οὖν, τὸ ἔχον πως, μὴ ἔχειν οὕτω, μὴ μεταβάλλον ἐκ ταύτης τῆς ἕξεως; Οὐχ οἷόντε. Πᾶν ἄρα τὸ τοιοῦτον μεταβολὴν σημαίνει, ὃ ἂν οὕτω τε καὶ μὴ οὕτως ἔχῃ. Πῶς δ' οὔ; Μεταβολὴ δὲ, κίνησις; ἢ τί φήσομεν; Κίνησις. Οὐκοῦν τὸ ἓν, ὄν τε καὶ οὐκ ὂν ἐφάνη; Ναί. Οὕτως ἄρα καὶ οὐχ οὕτως ἔχον φαίνεται. Ἔοικε. Καὶ κινούμενον ἄρα τὸ οὐκ ὂν, ἓν πέφανται· ἐπείπερ καὶ μεταβολὴν ἐκ τοῦ εἶναι ἐπὶ τὸ μὴ εἶναι ἔχον. Κινδυνεύει. Ἀλλὰ μὴν, εἰ μηδαμοῦ γε ἐστὶ τῶν ὄντων, ὡς οὐκ ἔστιν, εἴπερ μὴ ἔστιν, οὐδ' ἂν μεθίσταιτο ποθέν ποι. Πῶς γάρ; Οὐκ ἄρα τῷ γε μεταβαίνειν κινοῖτ' ἄν. Οὐ γάρ. Οὐδὲ μὴν ἐν τῷ αὐτῷ ἂν στρέφοιτο. ταὐτοῦ γὰρ οὐδαμοῦ ἅπτεται. ὂν γάρ ἐστι τὸ ταὐτόν. τὸ δὲ μὴ ὂν, ἔν τῳ τῶν ὄντων ἀδύνατον εἶναι. Ἀδύνατον γάρ. Οὐκ ἄρα τὸ ἓν, μὴ ὂν, στρέφεσθαι ἂν δύναιτο ἐν ἐκείνῳ ἐν ᾧ μὴ ἔστιν. Οὐ γὰρ οὖν. Οὐδὲ μὴν ἀλλοιοῦταί που τὸ ἓν ἑαυτοῦ, οὔτε τὸ ὂν, οὔτε τὸ μὴ ὄν. οὐ γὰρ ἂν ἦν ὁ λόγος ἔτι περὶ τοῦ ἑνὸς, εἴπερ ἠλλοιοῦτο αὐτὸ ἑαυτοῦ, ἀλλὰ περὶ ἄλλου τινός. Ὀρθῶς. Εἰ δὲ μήτ' ἀλλοιοῦται, μήτε ἐν ταὐτῷ στρέφεται, μήτε μεταβαίνει, ἆρ' ἂν πη ἔτι κινοῖτο; Πῶς δή; Τό γε μὴν ἀκίνητον ἀνάγκη ἡσυχίαν ἄγειν, τὸ δὲ ἡσυχάζον, ἑστάναι. Ἀνάγκη. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, οὐκ ὂν, ἕστηκέ τε καὶ κινεῖται. Ἔοικε. Καὶ μὴν, εἴ

πέρ γε κινεῖται, μεγάλη ἀνάγκη αὐτῷ ἀλλοιοῦσθαι. ὅπη γὰρ ἄν τι κινηθῇ, κατὰ τοσοῦτον οὐκέθ᾽ ὡσαύτως ἔχει ὡς εἶχεν, ἀλλ᾽ ἑτέρως. Οὕτω. Κινούμενον δὲ τὸ ἕν, καὶ ἀλλοιοῦται. Ναί. Καὶ μὴν μηδαμῇ γε κινούμενον, οὐδαμῇ ἂν ἀλλοιοῖτο. Οὐ γάρ. Ἡ μὲν ἄρα κινεῖται τὸ οὐκ ὂν ἕν, ἀλλοιοῦται· ᾗ δὲ μὴ κινεῖται, οὐκ ἀλλοιοῦται. Οὐ γάρ. Τὸ ἓν ἄρα μὴ ὂν ἀλλοιοῦταί τε καὶ οὐκ ἀλλοιοῦται. Φαίνεται. Τὸ δ᾽ ἀλλοιούμενον ἆρ᾽ οὐκ ἀνάγκη γίγνεσθαι μὲν ἕτερον ἢ πρότερον, ἀπόλλυσθαι δὲ ἐκ τῆς προτέρας ἕξεως; τὸ δὲ μὴ ἀλλοιούμενον, μήτε γίγνεσθαι μήτε ἀπόλλυσθαι; Ἀνάγκη. Καὶ τὸ ἓν ἄρα, μὴ ὄν, ἀλλοιούμενον μέν, γίγνεταί τε καὶ ἀπόλλυται· μὴ ἀλλοιούμενον δέ, οὔτε γίγνεται, οὔτε ἀπόλλυται. καὶ οὕτω τὸ ἕν, μὴ ὄν, γίγνεταί τε καὶ ἀπόλλυται· καὶ οὔτε γίγνεται, οὔτ᾽ ἀπόλλυται. Οὐ γάρ. Αὖθις δὴ ἐπὶ τὴν ἀρχὴν ἴωμεν πάλιν, ὀψόμενοι εἰ ταὐτὰ ἡμῖν φανεῖται ἅπερ καὶ νῦν, ἢ ἕτερα. Ἀλλὰ χρή. Οὐκοῦν, ἓν εἰ μὴ ἔστι, ἔφαμεν τί χρὴ περὶ αὐτοῦ συμβαίνειν; Ναί. Τὸ δὲ μὴ ἔστιν ὅταν λέγωμεν, ἆρα μὴ ἄλλό τι σημαίνει ἢ οὐσίας ἀπουσίαν τούτῳ ὃ ἂν φῶμεν μὴ εἶναι; Οὐδὲν ἄλλο. Πότερον οὖν, ὅταν φῶμεν μὴ εἶναί τι, πῶς οὐκ εἶναι φαμὲν αὐτό, πῶς δὲ εἶναι; ἢ τοῦτο τὸ μὴ ἔστι, λεγόμενον, ἁπλῶς σημαίνει ὅτι οὐδαμῶς οὐδαμῇ ἐστιν, οὐδέ πη μετέχει οὐσίας, τόγε μὴ ὄν; Ἁπλούστατα μὲν οὖν. Οὔτε ἄρα δύναιτο εἶναι ἂν τὸ μὴ ὄν, οὔτε ἄλλως οὐδαμῶς οὐσίας μετέχειν. Οὐ γάρ. Τὸ δὲ γίγνεσθαι καὶ τὸ ἀπόλλυσθαι, μή τι ἄλλο ᾖ, ἢ τὸ μὲν οὐσίας μεταλαμβάνειν, τὸ δ᾽ ἀπολ-

λύναι οὐσίαν; Οὐδὲν ἄλλο. Ὧ δέ γε μηδὲν τούτου μέτεστιν, οὔτ' ἂν λαμβάνοι οὔτ' ἀπολλύοι αὐτό. Πῶς γάρ; Τῷ ἑνὶ ἄρα, ἐπειδὴ οὐδαμῇ ἐστιν, οὔτε ἑκτέον, οὔτε ἀπαλλακτέον, οὔτε μεταληπτέον οὐσίας μηδαμῶς. Εἰκός. Οὔτε ἄρα ἀπόλλυται τὸ μὴ ὂν ἕν, οὔτε γίγνεται, ἐπείπερ οὐδαμῇ μετέχει οὐσίας. Οὐ φαίνεται. Οὐδ' ἄρ' ἀλλοιοῦται οὐδαμῇ. ἤδη γὰρ ἂν γίγνοιτό τε καὶ ἀπολλύοιτο τοῦτο πάσχον. Ἀληθῆ. Εἰ δὲ μὴ ἀλλοιοῦται, οὐκ ἀνάγκη μηδὲ κινεῖσθαι; Ἀνάγκη. Οὐδὲ μὴν ἑστάναι φήσομεν τὸ μηδαμοῦ ὄν. τὸ γὰρ ἑστὼς, ἐν τῷ αὐτῷ τινι ἀεὶ δεῖ εἶναι τῷ αὐτῷ. Πῶς γὰρ οὔ; Οὕτω δὴ αὐτὸ μὴ ὄν, μήτε ποτὲ ἑστάναι μήτε κινεῖσθαι λέγωμεν. Μὴ γὰρ οὖν. Ἀλλὰ μὴν οὐδ' ἔστι γε αὐτῷ τι τῶν ὄντων. ἤδη γὰρ ἂν τοῦτο μετέχον ὄντος, οὐσίας μετέχοι. Δῆλον. Οὔτε ἄρα μέγεθος, οὔτε σμικρότης, οὔτε ἰσότης αὐτῷ ἐστιν. Οὐ γάρ. Οὐδὲ μὴν ὁμοιότης γε, οὐδὲ ἑτεροιότης, οὔτε πρὸς αὑτὸ οὔτε πρὸς τἄλλα εἴη ἂν αὐτῷ. Οὐ φαίνεται. Τί δέ; τἄλλα ἔσθ' ὅπως ἂν εἴη αὐτῷ, εἰ μηδὲν αὐτῷ δεῖ εἶναι; Οὐκ ἔστιν. Οὔτε ἄρα ὅμοια, οὔτε ἀνόμοια, οὔτε ταὐτὰ, οὔτε ἕτερά ἐστιν αὐτῷ τὰ ἄλλα. Οὐ γάρ. Τί δέ; τὸ ἐκείνου, ἢ τὸ ἐκείνῳ, ἢ τὸ τί, ἢ τὸ τοῦτο, ἢ τὸ τούτου, ἢ ἄλλου, ἢ ἄλλῳ· ἢ ποτὲ, ἢ ἔπειτα, ἢ νῦν· ἢ ἐπιστήμη, ἢ δόξα, ἢ αἴσθησις, ἢ λόγος, ἢ ὄνομα, ἢ ἄλλο ὁτιοῦν τῶν ὄντων περὶ τὸ μὴ ὂν ἔσται; Οὐκ ἔσται. Οὕτω δὴ ἓν οὐκ ὂν οὐκ ἔχει πως οὐδαμῇ. Οὔκουν δὴ ἔοικέ γε οὐδαμῇ ἔχειν. Ἔτι δὴ λέγωμεν, ἓν εἰ μὴ ἔστι, τἄλλα τί χρὴ πεπονθέναι. Λέγωμεν γάρ. Ἄλλα μέν που δεῖ αὐτὰ εἶναι. εἰ γὰρ

μηδὲ ἄλλα ἐστὶν, οὐκ ἂν περὶ τῶν ἄλλων λέγοιτο. Οὕτως. Εἰ δὲ περὶ τῶν ἄλλων ὁ λόγος, τάγε ἄλλα ἕτερά ἐστιν. ἢ οὐκ ἐπὶ τῷ αὐτῷ καλεῖς τό, τε ἄλλο καὶ τὸ ἕτερον; Ἔγωγε. Ἕτερον δέ γέ που φαμὲν, τὸ ἕτερον εἶναι ἑτέρου, καὶ τὸ ἄλλο δὴ ἄλλο εἶναι ἄλλου; Ναί. Καὶ τοῖς ἄλλοις ἄρα, εἰ μέλλοι ἄλλα εἶναι, ἔστι τὶ οὗ ἄλλα ἔσται. Ἀνάγκη. Τί δὴ οὖν ἂν εἴη; Τοῦ μὲν γὰρ ἑνὸς οὐκ ἔσται ἄλλα, μὴ ὄντος γε. Οὐ γάρ. Ἀλλήλων ἄρα ἐστί. τοῦτο γὰρ αὐτοῖς ἔτι λείπεται, ἢ μηδενὸς εἶναι ἄλλοις. Ὀρθῶς. Κατὰ πλήθη ἄρα ἕκαστα ἀλλήλων ἄλλα ἐστί. κατὰ ἓν γὰρ οὐκ ἂν οἷά τε εἴη, μὴ ὄντος ἑνός· ἀλλ' ἕκαστος, ὡς ἔοικεν, ὁ ὄγκος αὐτῶν ἄπειρός ἐστι πλήθει· κἂν τὸ σμικρότατον δοκοῦν εἶναι λάβῃ τὶς, ὥσπερ ὄναρ ἐν ὕπνῳ φαίνεται, ἐξαίφνης ἀντὶ ἑνὸς δόξαντος εἶναι πολλὰ, καὶ ἀντὶ σμικροτάτου παμμέγεθες πρὸς τὰ κερματιζόμενα ἐξ αὐτοῦ. Ὀρθότατα. Τοιούτων δὴ ὄγκων ἄλλα ἀλλήλων εἴη ἂν τὰ ἄλλα, εἰ ἑνὸς μὴ ὄντος ἄλλα ἐστί. Κομιδῇ μὲν οὖν. Οὐκοῦν πολλοὶ ὄγκοι ἔσονται, εἷς ἕκαστος φαινόμενος, ὢν δὲ οὔ, εἴπερ ἓν μὴ ἔσται; Οὕτω. Καὶ ἀριθμός δὲ εἶναι αὐτῶν δόξει, εἴπερ ἓν ἕκαστον, πολλῶν ὄντων. Πάνυ γε. Καὶ τὰ μὲν δὴ, ἄρτια, τὰ δὲ, περιττὰ ἐν αὐτοῖς ὄντα, οὐκ ἀληθῶς φαίνεται, εἴπερ ἓν μὴ ἔσται. Οὐ γὰρ οὖν. Καὶ μὴν καὶ σμικρότατόν γε, φαμὲν, δόξειεν αὐτοῖς εἶναι. φαίνεται δὲ τοῦτο πολλὰ καὶ μεγάλα, πρὸς ἕκαστον τῶν πολλῶν, ὡς σμικρῶν ὄντων. Πῶς δ' οὔ; Καὶ ἴσος μὲν τοῖς πολλοῖς καὶ σμικρὸς ἕκαστος ὄγκος δοξασθήσεται εἶναι. οὐ γὰρ ἂν μετέ-

βαινεν ἐκ μείζονος εἰς ἔλαττον φαινόμενος, πρὶν εἰς τὸ μεταξὺ δόξειεν ἐλθεῖν. τοῦτο δ' εἴη ἂν φάντασμα ἰσότητος. Εἰκός. Οὐκοῦν καὶ πρὸς ἄλλον ὄγκον πέρας ἔχων, αὐτός τε πρὸς αὑτὸν, οὔτε ἀρχὴν, οὔτε πέρας, οὔτε μέσον ἔχων; Πῇ δή; Ὅτι ἀεὶ αὐτῶν ὅταν τὶς τὶ λάβῃ τῇ διανοίᾳ, ὥς τι τούτων ὂν, πρό τε τῆς ἀρχῆς, ἄλλη ἀεὶ φαίνεται ἀρχή· μετά τε τὴν τελευτὴν, ἑτέρα ὑπολειπομένη τελευτή· ἔν τε τῷ μέσῳ, ἄλλα μεσαίτερα τοῦ μέσου. σμικρότερα δὲ, διὰ τὸ μὴ δύνασθαι ἑνὸς αὐτῶν ἑκάστου λαμβάνεσθαι· ἅτε οὐκ ὄντος τοῦ ἑνός. Ἀληθέστατα. Θρύπτεσθαι δὲ, οἶμαι, κερματιζόμενον ἀνάγκη πᾶν τὸ ὂν, ὃ ἄν τις λάβῃ τῇ διανοίᾳ. ὄγκος γάρ που ἑνὸς ἄνευ λαμβάνοιτο ἄν. Πάνυ μὲν οὖν. Οὐκοῦν τόγε τοιοῦτον πόῤῥωθεν μὲν ὁρῶντι, καὶ ἀμβλὺ, ἓν φαίνεσθαι ἀνάγκη· ἐγγύθεν δὲ, καὶ ὀξὺ νοοῦντι, πλήθει ἄπειρον ἓν ἕκαστον φανῆναι, εἴπερ στέρεται τοῦ ἑνὸς μὴ ὄντος; Ἀναγκαιότατον μὲν οὖν. Οὕτω δὴ ἄπειρά τε καὶ πέρας ἔχοντα, καὶ ἓν καὶ πολλὰ, ἕκαστα τὰ ἄλλα δεῖ φαίνεσθαι, ἓν εἰ μὴ ἔστι· τἄλλα δὲ τοῦ ἑνός. Δεῖ γάρ. Οὐκοῦν καὶ ὅμοιά τε καὶ ἀνόμοια δόξει εἶναι; Πῇ δή; Οἷον ἐσκιαγραφημένα, ἀποστάντι μὲν, ἓν πάντα φαινόμενα, ταὐτὸν φαίνεσθαι πεπονθέναι, καὶ ὅμοια εἶναι. Πάνυ γε. Προσελθόντι δέ γε, πολλὰ καὶ ἕτερα, καὶ τῷ τοῦ ἑτέρου φαντάσματι, ἑτεροῖα καὶ ἀνόμοια ἑαυτοῖς. Οὕτω. Καὶ ὁμοίους δὴ καὶ ἀνομοίους τοὺς ὄγκους αὐτούς τε ἑαυτοῖς ἀνάγκη φαίνεσθαι καὶ ἀλλήλοις. Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ

τοὺς αὐτοὺς καὶ ἑτέρους ἀλλήλων, καὶ ἁπτομένους καὶ χωρὶς ἑαυτῶν, καὶ κινουμένους πάσας κινήσεις, καὶ ἑστῶτας πανταχῇ· καὶ γιγνομένους καὶ ἀπολλυμένους, καὶ μηδέτερα, καὶ πάντα που τὰ τοιαῦτα, ἃ διεξελθεῖν εὐπετὲς ἡμῖν ἤδη, εἰ ἑνὸς μὴ ὄντος πολλά ἐστιν. Ἀληθέστατα μὲν οὖν. Ἔτι δὴ ἅπαξ, ἐλθόντες πάλιν ἐπὶ τὴν ἀρχὴν, εἴπωμεν, ἓν εἰ μὴ ἔστιν, τἄλλα δὲ τοῦ ἑνὸς, τί χρὴ εἶναι. Εἴπωμεν γὰρ οὖν. Οὐκοῦν ἓν μὲν οὐκ ἔσται τἄλλα. Πῶς γάρ; Οὐδὲ μὴν πολλά γε. ἐν γὰρ πολλοῖς οὖσιν εἴη ἂν καὶ ἕν. εἰ γὰρ μηδὲν αὐτῶν ἐστιν ἓν, ἅπαντα οὐδέν ἐστιν. ὥστε οὐδ᾽ ἂν πολλὰ εἴη. Ἀληθῆ. Μὴ ἐνόντος δὲ ἑνὸς ἐν τοῖς ἄλλοις, οὔτε πολλὰ, οὔτε ἕν ἐστι τἄλλα. Οὐ γάρ. Οὐδέ γε φαίνεται ἓν, οὐδὲ πολλά. Τί δή; Ὅτι τἄλλα τῶν μὴ ὄντων οὐδενὶ οὐδαμῇ οὐδαμῶς οὐδεμίαν κοινωνίαν ἔχει· οὐδέ τι τῶν μὴ ὄντων παρὰ τῶν ἄλλων τῳ ἐστίν. οὐδὲν γὰρ μέρος ἐστὶ τοῖς μὴ οὖσιν. Ἀληθῆ. Οὐδ᾽ ἄρα δόξα τοῦ μὴ ὄντος παρὰ τοῖς ἄλλοις ἐστὶν, οὐδέ τι φάντασμα· οὐδὲ δοξάζεται οὐδαμῇ οὐδαμῶς τὸ μὴ ὂν ὑπὸ τῶν ἄλλων. Οὐ γὰρ οὖν. Ἓν ἄρα εἰ μὴ ἔστιν, οὐ δοξάζεταί τι τῶν ἄλλων ἓν εἶναι, οὐδὲ πολλά. ἄνευ γὰρ ἑνὸς πολλὰ δοξάσαι ἀδύνατον. Ἀδύνατον γάρ. Ἓν ἄρα εἰ μὴ ἔστι, τἄλλα οὔτε ἔστιν, οὔτε δοξάζεται ἓν οὔτε πολλά. Οὐκ ἔοικεν. Οὐδ᾽ ἄρα ὅμοια, οὐδὲ ἀνόμοια. Οὐ γάρ. Οὐδὲ μὴν τὰ αὐτά γε, οὐδ᾽ ἕτερα· οὐδὲ ἁπτόμενα, οὐδὲ χωρίς· οὐδὲ ἄλλα ὅσα ἐν τοῖς πρόσθεν διήλθομεν, ὡς φαινόμενα αὐτὰ, τούτων οὔτε τι ἔστιν, οὔτε φαίνεται τἄλλα, ἓν εἰ μὴ ἔστιν. Ἀληθῆ.

Οὐκοῦν καὶ συλλήβδην εἰ εἴποιμεν, ἓν εἰ μὴ ἔστιν, οὐδέν ἐστιν, ὀρθῶς ἂν εἴποιμεν; Παντάπασι μὲν οὖν. Εἰρήσθω τοίνυν τοῦτό τε, καὶ ὅτι, ὡς ἔοικεν, ἓν εἴτ᾽ ἔστιν εἴτε μὴ ἔστιν, αὐτό τε καὶ τἄλλα καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα, πάντα πάντως ἐστί τε καὶ οὐκ ἔστι, καὶ φαίνεταί τε καὶ οὐ φαίνεται. Ἀληθέστατα.

ΣΥΜΠΟΣΙΟΝ
Η
ΠΕΡΙ ΕΡΩΤΟΣ

Ἠθικός.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΣΥΜΠΟΣΙΟΥ ΠΡΟΣΩΠΑ

ΑΠΟΛΛΟΔΩΡΟΣ, ΕΤΑΙΡΟΣ ΑΠΟΛΛΟΔΩΡΟΥ, ΓΛΑΥΚΩΝ, ΑΡΙΣΤΟΔΗΜΟΣ, ΣΩΚΡΑΤΗΣ, ΑΓΑΘΩΝ, ΦΑΙΔΡΟΣ, ΠΑΥΣΑΝΙΑΣ, ΕΡΥΞΙΜΑΧΟΣ, ΑΡΙΣΤΟΦΑΝΗΣ, ΔΙΟΤΙΜΑ, ΑΛΚΙΒΙΑΔΗΣ.

Δοκῶ μοι περὶ ὧν πυνθάνεσθε νῦν οὐκ ἀμελέτητος εἶναι. καὶ γὰρ ἐτύγχανον πρώην εἰς ἄστυ οἴκοθεν ἀνιὼν Φαληρόθεν. τῶν οὖν γνωρίμων τὶς, ὄπισθεν κατιδών με, πόῤῥωθεν ἐκάλεσε· καὶ παίζων ἅμα τῇ κλήσει, Ὁ Φαληρεὺς, ἔφη, οὗτος Ἀπολλόδωρος οὐ περιμενεῖς; Κἀγὼ ἐπιστὰς περιέμεινα. καὶ ὃς, Ἀπολλόδωρε, ἔφη, καὶ μὴν ἔναγχος σὲ ἐζήτουν, βουλόμενος διαπυθέσθαι τὴν Ἀγάθωνος ξυνουσίαν,

καὶ Σωκράτους, καὶ Ἀλκιβιάδου, καὶ τῶν ἄλλων τῶν τότε ἐν τῷ συνδείπνῳ παραγενομένων, περὶ τῶν ἐρωτικῶν λόγων, τίνες ἦσαν. ἄλλος γάρ τις μοὶ διηγεῖτο, ἀκηκοὼς Φοίνικος τοῦ Φιλίππου· ἔφη δὲ καί σε εἰδέναι. ἀλλὰ γὰρ οὐδὲν εἶχε σαφὲς λέγειν. σὺ οὖν μοὶ διήγησαι. δικαιότατος γὰρ εἶ τοὺς τοῦ ἑταίρου λόγους ἀπαγγέλλειν. πρότερον δέ μοι, ἦ δ᾽ ὅς, εἰπὲ, σὺ αὐτὸς παρεγένου τῇ συνουσίᾳ ταύτῃ, ἢ οὔ; Κἀγὼ εἶπον ὅτι, Παντάπασιν ἔοικέ σοι οὐδὲν διηγεῖσθαι σαφὲς ὁ διηγούμενος· εἰ νεωστὶ ἡγῇ τὴν συνουσίαν γεγονέναι ταύτην ἣν ἐρωτᾷς, ὥστε καὶ ἐμὲ παραγενέσθαι. Ἔγωγε δή. Πόθεν, ἦν δ᾽ ἔγ᾽, ὦ Γλαύκων; οὐκ οἶσθ᾽ ὅτι πολλῶν ἐτῶν Ἀγάθων ἐνθάδε οὐκ ἐπιδεδήμηκεν; ἀφ᾽ οὗ δ᾽ ἐγὼ Σωκράτει συνδιατρίβω, καὶ ἐπιμελὲς πεποίημαι ἑκάστης ἡμέρας εἰδέναι ὅ, τι ἂν λέγῃ ἢ πράττῃ, οὐδέπω τρία ἔτη ἐστίν. προτοῦ δὲ περιτρέχων ὅπῃ τύχοιμι, καὶ οἰόμενός τι ποιεῖν, ἀθλιώτερος ἦν ὁτουοῦν· οὐχ ἧττον ἢ σὺ νῦν, οἰόμενος δεῖν πάντα μᾶλλον πράττειν ἢ φιλοσοφεῖν. Καὶ ὅς, Μὴ σκῶπτ᾽, ἔφη· ἀλλ᾽ εἰπέ μοι πότε ἐγένετο ἡ συνουσία αὕτη. Κἀγὼ εἶπον ὅτι, Παίδων ἡμῶν ὄντων ἔτι, ὅτε τῇ πρώτῃ τραγῳδίᾳ ἐνίκησεν Ἀγάθων, τῇ ὑστεραίᾳ ἢ ᾗ τὰ ἐπινίκια ἔθυεν αὐτός τε καὶ οἱ χορευταί. Πάνυ, ἔφη, ἄρα πάλαι, ὡς ἔοικεν. ἀλλὰ τίς σοι διηγεῖτο; ἢ αὐτὸς Σωκράτης; Οὐ μὰ τὸν Δία, ἦν δ᾽ ἐγὼ, ἀλλ᾽ ὅσπερ Φοίνικι· Ἀριστόδημος ἦν τις, Κυδαθηνεὺς, σμικρὸς, ἀνυπόδητος αἰεί. παραγεγόνει δ᾽ ἐν τῇ συνουσίᾳ, Σωκράτους ἐραστὴς ὢν ἐν τοῖς μάλιστα τῶν τότε, ὡς ἐμοὶ

δοκεῖ. οὐ μέντοι ἀλλὰ καὶ Σωκράτη γε ἔνια ἤδη ἀνηρόμην, ὧν ἐκείνου ἤκουσα. καί μοι ὡμολόγει, καθάπερ ἐκεῖνος διηγεῖτο. Τί οὖν, ἔφη, οὐ διηγῇ σύ μοί; πάντως δὲ ἡ ὁδὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ ἀκούειν. οὕτω δὴ ἰόντες ἅμα τοὺς λόγους περὶ αὐτῶν ἐποιούμεθα· ὥστε, ὅπερ ἀρχόμενος εἶπον, οὐκ ἀμελετήτως ἔχω. εἰ οὖν δεῖ καὶ ὑμῖν διηγήσασθαι, ταῦτα χρὴ ποιεῖν. καὶ γὰρ ἔγωγε καὶ ἄλλως, ὅταν μέν τινας περὶ φιλοσοφίας λόγους ἢ αὐτὸς ποιῶμαι, ἢ ἄλλων ἀκούω, χωρὶς τοῦ οἴεσθαι ὠφελεῖσθαι, ὑπερφυῶς ὡς χαίρω· ὅταν δὲ ἄλλους τινὰς, ἄλλως τε καὶ τοὺς ὑμετέρους, τοὺς τῶν πλουσίων καὶ χρηματιστῶν, αὐτός τε ἄχθομαι, ὑμᾶς τε τοὺς ἑταίρους ἐλεῶ, ὅτι οἴεσθέ τι ποιεῖν, οὐδὲν ποιοῦντες. καὶ ἴσως αὖ ὑμεῖς ἡγεῖσθε ἐμὲ κακοδαίμονα εἶναι, καὶ οἴομαι ὑμᾶς ἀληθῆ οἴεσθαι· ἐγὼ μέντοι ὑμᾶς οὐκ οἴομαι, ἀλλ' εὖ οἶδα. *ΕΤΑΙ.* Ἀεὶ ὅμοιος εἶ, ὦ Ἀπολλόδωρε. ἀεὶ γὰρ σαυτόν τε κακηγορεῖς καὶ τοὺς ἄλλους· καὶ δοκεῖς μοι ἀτεχνῶς πάντας ἀθλίους ἡγεῖσθαι πλὴν Σωκράτους, ἀπὸ σαυτοῦ ἀρξάμενος. καὶ ὁπόθεν ποτὲ ταύτην τὴν ἐπωνυμίαν ἔλαβες τὸ μανικὸς καλεῖσθαι, οὐκ οἶδα ἔγωγε. ἐν μὲν γὰρ τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ· σαυτῷ τε καὶ τοῖς ἄλλοις ἀγριαίνεις, πλὴν Σωκράτους. *ΑΠΟΛ.* Ὦ φίλτατε, καὶ δῆλόν γε δὴ ὅτι οὕτω διανοούμενος καὶ περὶ ἐμαυτοῦ καὶ περὶ ὑμῶν, μαίνομαι καὶ παραπαίω. *ΕΤΑΙ.* Οὐκ ἄξιον περὶ τούτων, ὦ Ἀπολλόδωρε, νῦν ἐρίζειν· ἀλλ' ὅπερ ἐδεόμεθά σου, μὴ ἄλλως ποιήσῃς, ἀλλὰ διήγησαι τίνες ἦσαν οἱ λόγοι. *ΑΠΟΛ.* Ἦσαν τοίνυν

ἐκεῖνοι τοιοίδέ τινες. μᾶλλον δ' ἐξ ἀρχῆς ὑμῖν, ὡς ἐκεῖνος διηγεῖτο, καὶ ἐγὼ πειράσομαι διηγήσασθαι. ἔφη γάρ οἱ Σωκράτη ἐντυχεῖν, λελουμένον τε καὶ τὰς βλαύτας ὑποδεδεμένον· ἃ ἐκεῖνος ὀλιγάκις ἐποίει· καὶ ἐρέσθαι αὐτὸν ὅποι ἴοι, οὕτω καλὸς γεγενημένος. καὶ τὸν εἰπεῖν ὅτι ἐπὶ δεῖπνον, εἰς Ἀγάθωνος. χθὲς γὰρ αὐτὸν διέφυγον τοῖς ἐπινικίοις, φοβηθεὶς τὸν ὄχλον· ὡμολόγησα δ' εἰς τήμερον παρέσεσθαι. ταῦτα δὴ ἐκαλλωπισάμην, ἵνα καλὸς παρὰ καλὸν ἴω. ἀλλὰ σὺ, ἦ δ' ὅς, Ἀριστόδημε, πῶς ἔχεις πρὸς τὸ ἐθέλειν ἂν ἰέναι ἄκλητος ἐπὶ δεῖπνον; Κἀγὼ, ἔφη, εἶπον ὅτι, οὕτως ὅπως ἂν σὺ κελεύῃς. Ἕπου τοίνυν, ἔφη, ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν μεταβαλόντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμηρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι, ἀλλὰ καὶ ὑβρίσαι εἰς ταύτην τὴν παροιμίαν. ποιήσας γὰρ τὸν Ἀγαμέμνονα διαφερόντως ἀγαθὸν ἄνδρα τὰ πολεμικὰ, τὸν δὲ Μενέλεων μαλθακὸν αἰχμητὴν, θυσίαν ποιουμένου καὶ ἑστιῶντος τοῦ Ἀγαμέμνονος, ἄκλητον ἐποίησεν ἐλθόντα τὸν Μενέλεων ἐπὶ τὴν θοίνην, χείρω ὄντα ἐπὶ τὴν τοῦ ἀμείνονος. Ταῦτ' ἀκούσας εἰπεῖν ἔφη, Ἴσως μέντοι κινδυνεύσω καὶ ἐγὼ, οὐχ ὡς σὺ λέγεις, ὦ Σώκρατες, ἀλλὰ καθ' Ὅμηρον, φαῦλος ὢν ἐπὶ σοφοῦ ἀνδρὸς ἰέναι θοίνην ἄκλητος. ἆρ' οὖν ἄγων με τί ἀπολογήσῃ; ὡς ἔγωγε οὐχ ὁμολογήσω ἄκλητος ἥκειν, ἀλλ' ὑπὸ σοῦ κεκλημένος. Σύν τε δύ', ἔφη, ἐρχομένω, πρὸ ὁδοῦ βουλευσόμεθα ὅ, τι ἐροῦμεν. ἀλλὰ ἴωμεν. Τοιαῦτ' ἄττα σφᾶς ἔφη διαλεχθέντας

ἰέναι. τὸν οὖν Σωκράτη ἑαυτῷ πως προσέχοντα τὸν νοῦν, κατὰ τὴν ὁδὸν πορεύεσθαι ὑπολειπόμενον· καὶ περιμένοντος οὗ κελεύειν προϊέναι εἰς τὸ πρόσθεν. ἐπειδὴ δὲ γενέσθαι ἐπὶ τῇ οἰκίᾳ τῇ Ἀγάθωνος, ἀνεῳγμένην καταλαμβάνειν τὴν θύραν· καί τι ἔφη αὐτόθι γελοῖον παθεῖν. οἷ ~~τὸν~~ μὲν γὰρ εὐθὺς παῖδά τινα ἔνδοθεν ἀπαντήσαντα ἄγειν οὗ κατέκειντο οἱ ἄλλοι, καὶ καταλαμβάνειν ἤδη μέλλοντας δειπνεῖν. εὐθὺς δ' οὖν ὡς ἰδεῖν τὸν Ἀγάθωνα, Ὦ, φάναι, Ἀριστόδημε, εἰς καλὸν ἥκεις, ὅπως συνδειπνήσῃς· εἰ δ' ἄλλου τινὸς ἕνεκα ἦλθες, εἰσαῦθις ἀναβαλοῦ. ὡς καὶ χθὲς ζητῶν σε ἵνα καλέσαιμι, οὐχ οἷός τ' ἦν ἰδεῖν. ἀλλὰ Σωκράτη ἡμῖν πῶς οὐκ ἄγεις; Καὶ ἐγὼ, ἔφη, μεταστρεφόμενος, οὐδαμοῦ ὁρῶ Σωκράτη ἑπόμενον. εἶπον οὖν ὅτι καὶ αὐτὸς μετὰ Σωκράτους ἥκοιμι, κληθεὶς ὑπ' ἐκείνου δεῦρ' ἐπὶ δεῖπνον. Καλῶς γ', ἔφη, ποιῶν σύ. ἀλλὰ ποῦ ἐστιν οὗτος; Ὄπισθεν ἐμοῦ ἄρτι εἰσῄει. ἀλλὰ θαυμάζω καὶ αὐτὸς ποῦ ἂν εἴη. Οὐ σκέψῃ, ἔφη, παῖ, φάναι τὸν Ἀγάθωνα, καὶ εἰσάξεις Σωκράτη; σὺ δ', ἦ δ' ὅς, Ἀριστόδημε, παρ' Ἐρυξίμαχον κατακλίνου. Καὶ 3.
ἐμὲ ἔφη ἀπονίζειν τὸν παῖδα, ἵνα που κατακέοιτο. ἄλλον δέ τινα τῶν παίδων ἥκειν ἀγγέλλοντα, ὅτι Σωκράτης οὗτος ἀναχωρήσας, ἐν τῷ τῶν γειτόνων προθύρῳ ἕστηκε, κἀμοῦ καλοῦντος οὐκ ἐθέλει εἰσιέναι. Ἄτοπόν γ', ἔφη, λέγεις· οὐκοῦν καλεῖς αὐτὸν, καὶ μὴ ἀφήσῃς. Καὶ ὅς ἔφη εἰπεῖν, Μηδαμῶς· ἀλλ' ἐᾶτε αὐτόν. ἔθος γάρ τι τοῦτ' ἔχει. ἐνίοτε ἀποστὰς, ὅπῃ ἂν τύχοι ἕστηκεν. ἥξει δὲ αὐτίκα, ὡς ἐγὼ οἶμαι. μὴ

οὖν κινεῖτε, ἀλλ' ἐᾶτε. Ἀλλ' οὕτω χρὴ ποιεῖν, εἴ σοι δοκεῖ, ἔφη φάναι τὸν Ἀγάθωνα. ἀλλ' ἡμᾶς, ὦ παῖδες, τοὺς ἄλλους ἑστιᾶτε· πάντως παρατίθετε ὅ, τι ἂν βούλησθε, ἐπειδάν τις ὑμῖν μὴ ἐφεστήκῃ· ὃ ἐγὼ οὐδεπώποτε ἐποίησα. νῦν οὖν νομίζοντες καὶ ἐμὲ ὑφ' ὑμῶν κεκλῆσθαι ἐπὶ δεῖπνον, καὶ τούσδε τοὺς ἄλλους, θεραπεύετε, ἵνα ὑμᾶς ἐπαινῶμεν. μετὰ ταῦτα ἔφη σφᾶς μὲν δειπνεῖν, τὸν δὲ Σωκράτη οὐκ εἰσιέναι. τὸν οὖν Ἀγάθωνα πολλάκις κελεύειν μεταπέμψασθαι τὸν Σωκράτη, αὐτὸν δὲ οὐκ ἐᾶν. ἥκειν οὖν αὐτὸν, οὐ πολὺν χρόνον, ὡς εἰώθει, διατρίψαντα, ἀλλὰ μάλιστα σφᾶς μεσοῦν δειπνοῦντας. τὸν οὖν Ἀγάθωνα (τυγχάνειν γὰρ ἔσχατον, κατακείμενον μόνον) δεῦρ' ἔφη φάναι, Σώκρατες, παρ' ἐμὲ κατάκεισο, ἵνα καὶ τοῦ σοφοῦ ἁπτόμενός σου ἀπολαύσω ὅ σοι προσέστη ἐν τοῖς προθύροις. δῆλον γὰρ ὅτι εὗρες αὐτὸ, καὶ ἔχεις· οὐ γὰρ ἂν προαπέστης. Καὶ τὸν Σωκράτη καθίζεσθαι, καὶ εἰπεῖν ὅτι, Εὖ ἂν ἔχοι, φάναι, ὦ Ἀγάθων, εἰ τοιοῦτον εἴη ἡ σοφία, ὥστ' ἐκ τοῦ πληρεστέρου εἰς τὸν κενώτερον ῥεῖν ἡμῶν, ἐὰν ἁπτώμεθα ἀλλήλων· ὥσπερ τὸ ἐν ταῖς κύλιξιν ὕδωρ, τὸ διὰ τοῦ ἐρίου ῥέον ἐκ τῆς πληρεστέρας εἰς τὴν κενωτέραν. εἰ γὰρ οὕτως ἔχει καὶ ἡ σοφία, πολλοῦ τιμῶμαι τὴν παρά σοι κατάκλισιν. οἶμαι γάρ με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσεσθαι. ἡ μὲν γὰρ ἐμὴ, φαύλη τις ἂν εἴη, καὶ ἀμφισβητήσιμος, ὥσπερ ὄναρ οὖσα· ἡ δὲ σὴ, λαμπρά τε καὶ πολλὴν ἐπίδοσιν ἔχουσα· ἥγε παρὰ σοῦ νέου ὄντος οὕτω σφόδρα ἐξέλαμψε καὶ ἐκφανὴς ἐγένετο πρῴην ἐν μάρ-

τυσι τῶν Ἑλλήνων πλέον ἢ τρισμυρίοις. Ὑβριστὴς εἶ, ἔφη, ὦ Σώκρατες, ὁ Ἀγάθων. ἀλλὰ ταῦτα μὲν καὶ ὀλίγον ὕστερον διαδικασόμεθα ἐγώ τε καὶ σὺ περὶ τῆς σοφίας, δικαστῇ χρώμενοι τῷ Διονύσῳ· νῦν δὲ πρὸς τὸ δεῖπνον πρῶτα τρέπου. Μετὰ ταῦτα, 4 ἔφη, κατακλινέντος τοῦ Σωκράτους καὶ δειπνήσαντος, καὶ τῶν ἄλλων, σπονδάς τε σφᾶς ποιήσασθαι, καὶ ᾄσαντας τὸν θεὸν καὶ τἄλλα τὰ νομιζόμενα, τρέπεσθαι πρὸς τὸν πότον. Τὸν οὖν Παυσανίαν ἔφη λόγου τοιούτου τινὸς κατάρχειν, Εἶεν, ἄνδρες, φάναι, τίνα τρόπον ἥδιστα πιώμεθα; ἐγὼ μὲν οὖν λέγω ὑμῖν, ὅτι τῷ ὄντι πάνυ χαλεπῶς ἔχω ὑπὸ τοῦ χθὲς πότου, καὶ δέομαι ἀναψυχῆς τινος· οἶμαι δὲ καὶ ὑμῶν τοὺς πολλούς. παρῆτε γὰρ χθές. σκοπεῖσθε οὖν, τίνι τρόπῳ ἂν ὡς ῥᾷστα πίνοιμεν. τὸν οὖν Ἀριστοφάνη εἰπεῖν, Τοῦτο μέντοι εὖ λέγεις, ὦ Παυσανία, τὸ, παντὶ τρόπῳ παρασκευάσασθαι ῥαστώνην τινὰ τῆς πόσεως. καὶ γὰρ καὶ αὐτός εἰμι τῶν χθὲς βεβαπτισμένων. Ἀκούσαντα οὖν αὐτῶν ἔφη Ἐρυξίμαχον τὸν Ἀκουμένου, Ἦ καλῶς, φάναι, λέγετε. καὶ ἔτι ἑνὸς δέομαι ὑμῶν ἀκοῦσαι, πῶς ἔχει πρὸς τὸ ἐῤῥῶσθαι πίνειν Ἀγάθων. Οὐδαμῶς, φάναι, οὐδ᾽ αὐτὸς ἔῤῥωμαι. Ἕρμαιον ἂν εἴη ἡμῖν, ἦ δ᾽ ὅς, ὡς ἔοικε, ἐμοί τε καὶ Ἀριστοδήμῳ καὶ Φαίδρῳ, καὶ τοῖσδε, εἰ ὑμεῖς οἱ δυνατώτατοι πίνειν, νῦν ἀπειρήκατε. ἡμεῖς μὲν γὰρ ἀεὶ ἀδύνατοι. Σωκράτη δ᾽ ἐξαιρῶ [τοῦ] λόγου· ἱκανὸς γὰρ καὶ ἀμφότερα. ὥστ᾽ ἐξαρκέσει αὐτῷ ὁπότερ᾽ ἂν ποιῶμεν. ἐπειδὴ οὖν μοι δοκεῖ οὐδεὶς τῶν παρόντων προθύμως ἔχειν πρὸς τὸ πολὺν

πίνειν οἶνον, ἴσως ἂν ἐγὼ περὶ τοῦ μεθύσκεσθαι, οἷόν ἐστι, τἀληθῆ λέγων, ἧττον ἂν εἴην ἀηδής. ἐμοὶ γὰρ δὴ τοῦτό γε οἶμαι κατάδηλον γεγονέναι ἐκ τῆς ἰατρικῆς, ὅτι χαλεπὸν τοῖς ἀνθρώποις ἡ μέθη ἐστί· καὶ οὔτε αὐτὸς ἑκὼν εἶναι πόῤῥω ἐθελήσαιμι ἂν πιεῖν, οὔτε ἄλλῳ συμβουλεύσαιμι, ἄλλως τε καὶ κραιπαλῶντα ἔτι ἐκ τῆς προτεραίας. Ἀλλὰ μὴν, ἔφη φάναι ὑπολαβόντα Φαῖδρον τὸν Μυρινούσιον, ἔγωγε σοὶ εἴωθα πείθεσθαι, ἄλλως τε καὶ ἅττ᾽ ἂν περὶ ἰατρικῆς λέγῃς· νῦν δ᾽ αὖ βούλονται καὶ οἱ λοιποί. | εὖ βο- λεύον Ταῦτα δὴ ἀκούσαντας συγχωρεῖν πάντας μὴ διὰ μέθης ποιήσασθαι τὴν ἐν τῷ παρόντι συνουσίαν, ἀλλ᾽ οὕτω πίνοντας πρὸς ἡδονήν. Ἐπειδὴ τοίνυν, φάναι τὸν Ἐρυξίμαχον, τοῦτο μὲν δέδοκται, πίνειν ὅσον ἂν ἕκαστος βούληται, ἐπάναγκες δὲ μηδὲν εἶναι, τὸ μετὰ τοῦτο εἰσηγοῦμαι, τὴν μὲν ἄρτι εἰσελθοῦσαν αὐλητρίδα χαίρειν ἐᾷν, αὐλοῦσαν ἑαυτῇ, ἢ, ἐάν γε βούληται, ταῖς γυναιξὶ ταῖς ἔνδον· ἡμᾶς δὲ διὰ λόγων ἀλλήλοις συνεῖναι τὸ τήμερον. καὶ δι᾽ οἵων λόγων, εἰ βούλεσθε, ἐθέλω ὑμῖν εἰσηγήσασθαι. φάναι δὴ πάντας καὶ βούλεσθαι καὶ κελεύειν αὐτὸν εἰσηγεῖσθαι. Εἰπεῖν οὖν τὸν Ἐρυξίμαχον ὅτι, Ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην. οὐ γὰρ ἐμὸς ὁ μῦθος, ἀλλὰ Φαίδρου τοῦδε, ὃν μέλλω λέγειν. Φαῖδρος γὰρ ἑκάστοτε πρός με ἀγανακτῶν λέγει, Οὐ δεινὸν, φησὶν, ὦ Ἐρυξίμαχε, ἄλλοις μέν τισι θεῶν ὕμνους καὶ παιῶνας εἶναι ὑπὸ τῶν ποιητῶν πεποιημένους, τῷ δὲ Ἔρωτι, τηλικούτῳ ὄντι καὶ τοσούτῳ θεῷ, μηδὲ ἕνα πώποτε το-

σούτων γεγονότων ποιητῶν πεποιηκέναι μηδὲν ἐγκώμιον; εἰ δὲ βούλει αὖ σκέψασθαι τοὺς χρηστοὺς σοφιστὰς, Ἡρακλέους μὲν καὶ ἄλλων ἐπαίνους καταλογάδην συγγράφειν, ὥσπερ ὁ βέλτιστος Πρόδικος. καὶ τοῦτο μὲν ἧττον καὶ θαυμαστόν· ἀλλ' ἔγωγε ἤδη τινὶ ἐνέτυχον βιβλίῳ ἀνδρὸς σοφοῦ, ἐν ᾧ ἐνῆσαν ἅλες ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν. καὶ ἄλλα συχνὰ τοιαῦτα ἴδοις ἂν ἐγκεκωμιασμένα. τὸ οὖν τοιούτων μὲν πέρι πολλὴν σπουδὴν ποιήσασθαι, Ἔρωτα δὲ μηδένα πω ἀνθρώπων τετολμηκέναι εἰς ταυτηνὶ τὴν ἡμέραν ἀξίως ὑμνῆσαι, ἀλλ' οὕτως ἠμέληται τοσοῦτος θεός· ταῦτα δή μοι δοκεῖ εὖ λέγειν Φαῖδρος. ἐγὼ οὖν ἐπιθυμῶ, ἅμα μὲν τούτῳ ἔρανον εἰσενεγκεῖν καὶ χαρίσασθαι, ἅμα δὲ ἐν τῷ παρόντι πρέπον μοὶ δοκεῖ εἶναι ἡμῖν τοῖς παροῦσι κοσμῆσαι τὸν θεόν. εἰ οὖν ξυνδοκεῖ καὶ ὑμῖν, γένοιτ' ἂν ἡμῖν ἐν λόγοις ἱκανὴ διατριβή. δοκεῖ γάρ μοι χρῆναι ἕκαστον ἡμῶν λόγον εἰπεῖν ἔπαινον Ἔρωτος ἐπιδέξια ὡς ἂν δύνηται κάλλιστον. ἄρχειν δὲ Φαῖδρον πρῶτον, ἐπειδὴ καὶ πρῶτος κατάκειται, καὶ ἔστιν ἅμα πατὴρ τοῦ λόγου. Οὐδείς σοι, ὦ Ἐρυξίμαχε, φάναι τὸν Σωκράτη, ἐναντία ψηφιεῖται. οὔτε γὰρ ἄν που ἐγὼ ἀποφήσαιμι· ὃς οὐδέν φημι ἄλλο ἐπίστασθαι ἢ τὰ ἐρωτικὰ, οὔτέ που Ἀγάθων καὶ Παυσανίας, οὐδὲ μὴν Ἀριστοφάνης, ᾧ περὶ Διόνυσον καὶ Ἀφροδίτην πᾶσα διατριβή· οὐδὲ ἄλλος οὐδεὶς τουτωνὶ, ὧν ἐγὼ ὁρῶ. καίτοι οὐκ ἐξ ἴσου γίγνεται ἡμῖν τοῖς ὑστάτοις κατακειμένοις· ἀλλὰ ἐὰν οἱ πρόσθεν ἱκανῶς καὶ καλῶς εἴπωσιν, ἐξαρκέσει ἡμῖν. ἀλλὰ τύχῃ ἀγαθῇ κα-

παρχέτω Φαῖδρος, καὶ ἐγκωμιαζέτω τὸν Ἔρωτα. Ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέφασάν τε, καὶ ἐκέλευον ἅπερ ὁ Σωκράτης. πάντων μὲν οὖν ὅσα ἕκαστος εἶπεν, οὔτε πάνυ ὁ Ἀριστόδημος ἐμέμνητο, οὔτ᾽ αὖ ἐγὼ ἃ᾽ ἐκεῖνος ἔλεγε πάντα· ἃ δὲ μάλιστα καὶ ὧν ἔδοξέ μοι ἀξιομνημονεύτων εἶναι, τούτων ὑμῖν ἐρῶ ἑκάστου τὸν λόγον. πρῶτον μὲν γάρ, ὥσπερ λέγω, ἔφη Φαῖδρον, ἀρξάμενον ἐνθένδε ποθὲν, λέγειν ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως, καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς, πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν. τὸ γὰρ ἐν τοῖς πρεσβυτάτοις εἶναι τῶν θεῶν, τίμιον, ἦ δ᾽ ὅς· τεκμήριον δὲ τούτου· γονεῖς γὰρ Ἔρωτος οὔτ᾽ εἰσὶν, οὔτε λέγονται ὑπ᾽ οὐδενὸς οὔτε ἰδιώτου, οὔτε ποιητοῦ. ἀλλ᾽ Ἡσίοδος πρῶτον μὲν χάος γενέσθαι φησὶν, — αὐτὰρ ἔπειτα Γαῖ᾽ εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί· Ἠδ᾽ Ἔρος. φησὶ μετὰ τὸ χάος δύω τούτω γενέσθαι, γῆν τε καὶ Ἔρωτα. Παρμενίδης δὲ τὴν γένεσιν λέγει, Πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων. Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως ὁμολογεῖ. οὕτω πολλαχόθεν ὁμολογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβυτάτοις εἶναι. πρεσβύτατος δὲ ὢν, μεγίστων ἀγαθῶν ἡμῖν αἴτιός ἐστιν. οὐ γὰρ ἔγωγ᾽ ἔχω εἰπεῖν ὅ, τι μεῖζόν ἐστιν ἀγαθὸν εὐθὺς νέῳ ὄντι, ἢ ἐραστὴς χρηστὸς, καὶ ἐραστῇ παιδικά. ὃ γὰρ χρὴ ἀνθρώποις ἡγεῖσθαι παντὸς τοῦ βίου τοῖς μέλλουσι καλῶς βιώσεσθαι, τοῦτο οὔτε συγγένεια οἵατε ἐμποιεῖν οὕτω καλῶς, οὔτε τιμαὶ, οὔτε πλοῦτος, οὔτ᾽ ἄλλο οὐδὲν, ὡς ἔρως. λέγω δὲ δὴ τί τοῦτο; τὴν ἐπὶ μὲν τοῖς αἰσχροῖς αἰσχύνην

ἐπὶ δὲ τοῖς καλοῖς φιλοτιμίαν. οὐ γάρ ἐστιν ἄνευ τούτων οὔτε πόλιν οὔτε ἰδιώτην μεγάλα καὶ καλὰ ἔργα ἐξεργάζεσθαι. φημὶ τοίνυν ἐγὼ, ἄνδρα ὅστις ἐρᾷ, εἴτι αἰσχρὸν ποιῶν κατάδηλος γίγνοιτο, ἢ πάσχων ὑπό του δι᾽ ἀνανδρίαν, μὴ ἀμυνόμενος, οὔτ᾽ ἂν ὑπὸ πατρὸς ὀφθέντα οὕτως ἀλγῆσαι, οὔτε ὑπὸ ἑταίρων, οὔτε ὑπ᾽ ἄλλου οὐδενὸς, ὡς ὑπὸ παιδικῶν. ταὐτὸν δὲ τοῦτο καὶ τὸν ἐρώμενον ὁρῶμεν, ὅτι διαφερόντως τοὺς ἐραστὰς αἰσχύνεται, ὅταν ὀφθῇ ἐν αἰσχρῷ τινι ὤν. εἰ οὖν μηχανή τις γένοιτο ὥστε πόλιν γενέσθαι ἢ στρατόπεδον ἐραστῶν τε καὶ παιδικῶν, οὐκ ἔστιν ὅπως ἂν ἄμεινον οἰκήσειαν τὴν ἑαυτῶν, ἢ ἀπεχόμενοι πάντων τῶν αἰσχρῶν, καὶ φιλοτιμούμενοι πρὸς ἀλλήλους. καὶ μαχόμενοί γ᾽ ἂν οἱ τοιοῦτοι μετ᾽ ἀλλήλων νικῷεν ἂν, ὀλίγοι ὄντες, ὡς ἔπος εἰπεῖν, πάντας ἀνθρώπους. ἐρῶν γὰρ ἀνὴρ ὑπὸ παιδικῶν ὀφθῆναι ἢ λιπὼν τάξιν, ἢ ὅπλα ἀποβαλὼν, ἧττον ἂν δήπου δέξαιτο ἢ ὑπὸ πάντων τῶν ἄλλων, καὶ πρὸ τούτου τεθνάναι ἂν πολλάκις ἕλοιτο· καὶ μὴν ἐγκαταλιπεῖν γε τὰ παιδικὰ, ἢ μὴ βοηθῆσαι κινδυνεύοντι. οὐδεὶς οὕτω κακὸς ὅντινα οὐκ ἂν αὐτὸς ὁ Ἔρως ἔνθεον ποιήσειε πρὸς ἀρετήν· ὥστε ὅμοιον εἶναι τῷ ἀρίστῳ φύσει. καὶ ἀτεχνῶς, ὃ ἔφη Ὅμηρος, μένος ἐμπνεῦσαι ἐνίοις τῶν ἡρώων τὸν θεὸν, τοῦτο ὁ Ἔρως τοῖς ἐρῶσι παρέχει γιγνόμενον παρ᾽ αὑτοῦ. καὶ μὴν ὑπεραποθνήσκειν γε μόνοι ἐθέλουσιν οἱ ἐρῶντες, οὐ μόνον ὅτι ἄνδρες, ἀλλὰ καὶ γυναῖκες. τούτου δὲ καὶ ἡ Πελίου θυγάτηρ Ἄλκηστις ἱκανὴν μαρτυρίαν παρέχεται, ὑπὲρ τοῦδε τοῦ λόγου, εἰς

τοὺς Ἕλληνας ἐθελήσασα μόνη ὑπὲρ τοῦ αὑτῆς ἀνδρὸς ἀποθανεῖν, ὄντων αὐτῷ πατρός τε καὶ μητρός· οὓς ἐκείνη τοσοῦτον ὑπερεβάλετο τῇ φιλίᾳ, διὰ τὸν ἔρωτα, ὥστε ἀποδεῖξαι αὐτοὺς ἀλλοτρίους ὄντας τῷ υἱεῖ, καὶ ὀνόματι μόνον προσήκοντας. καὶ τοῦτ᾽ ἐργασαμένη τὸ ἔργον, οὕτω καλὸν ἔδοξεν ἐργάσασθαι οὐ μόνον ἀνθρώποις ἀλλὰ καὶ θεοῖς, ὥστε πολλῶν πολλὰ καὶ καλὰ εἰργασμένων, εὐαριθμήτοις δή τισιν ἔδοσαν τοῦτο γέρας οἱ θεοί, ἐξ ᾅδου ἀνεῖναι πάλιν τὴν ψυχήν· ἀλλὰ καὶ τὴν ἐκείνης ἀνεῖσαν, ἀγασθέντες τῷ ἔργῳ. οὕτω καὶ θεοὶ τὴν περὶ τὸν ἔρωτα σπουδήν τε καὶ ἀρετὴν μάλιστα τιμῶσιν. Ὀρφέα δὲ τὸν Οἰάγρου ἀτελῆ ἀπέπεμψαν ἐξ ᾅδου, φάσμα δείξαντες τῆς γυναικὸς ἐφ᾽ ἣν ἐκὼν ἧκεν, αὐτὴν δὲ οὐ δόντες· ὅτι μαλθακίζεσθαι ἐδόκει, ἅτε ὢν κιθαρῳδός, καὶ οὐ τολμᾶν ἕνεκα τοῦ ἔρωτος ἀποθνήσκειν, ὥσπερ Ἄλκηστις, ἀλλὰ διαμηχανᾶσθαι ζῶν εἰσιέναι εἰς ᾅδου. τοιγάρτοι διὰ ταῦτα δίκην αὐτῷ ἐπέθεσαν, καὶ ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι. οὐχ ὥσπερ Ἀχιλλέα τὸν τῆς Θέτιδος υἱὸν ἐτίμησαν, καὶ εἰς μακάρων νήσους ἀπέπεμψαν, ὅτι πεπυσμένος παρὰ τῆς μητρὸς ὡς ἀποθανοῖτο ἀποκτείνας Ἕκτορα, μὴ ποιήσας δὲ τοῦτο, οἴκαδ᾽ ἐλθὼν γηραιὸς τελευτήσοι, ἐτόλμησεν ἑλέσθαι, βοηθήσας τῷ ἐραστῇ Πατρόκλῳ καὶ τιμωρήσας, οὐ μόνον ὑπεραποθανεῖν ἀλλὰ καὶ ἐπαποθανεῖν τετελευτηκότι. ὅθεν δὴ καὶ ὑπεραγασθέντες οἱ θεοὶ διαφερόντως αὐτὸν ἐτίμησαν, ὅτι τὸν ἐραστὴν οὕτω περὶ πολλοῦ ἐποιεῖτο. Αἰσχύλος δὲ φλυαρεῖ, φάσκων Ἀχιλ-

λεία Πατρόκλου ἐρᾷν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου, ἀλλ' ἄρα καὶ τῶν ἡρώων ἁπάντων, καὶ ἔτι ἀγένειος· ἔπειτα νεώτερος πολὺ, ὥς φησιν Ὅμηρος. ἀλλὰ γὰρ τῷ ὄντι μάλιστα μὲν ταύτην τὴν ἀρετὴν οἱ θεοὶ τιμῶσι τὴν περὶ τὸν ἔρωτα. μᾶλλον μέντοι θαυμάζουσι καὶ ἄγανται καὶ εὖ ποιοῦσιν ὅταν ὁ ἐρώμενος τὸν ἐραστὴν ἀγαπᾷ, ἢ ὅταν ὁ ἐραστὴς τὰ παιδικά. θειότερον γὰρ ἐραστὴς παιδικῶν· ἔνθεος γάρ ἐστι. διὰ ταῦτα καὶ τὸν Ἀχιλλέα τῆς Ἀλκήστιδος μᾶλλον ἐτίμησαν, εἰς μακάρων νήσους ἀποπέμψαντες. οὕτω δὴ καὶ ἔγωγέ φημι Ἔρωτα θεῶν πρεσβύτατον καὶ τιμιώτατον καὶ κυριώτατον εἶναι εἰς ἀρετῆς καὶ εὐδαιμονίας κτῆσιν ἀνθρώποις, καὶ ζῶσι καὶ τελευτήσασι. Φαῖδρον μὲν τοιοῦτόν τινα λόγον ἔφη εἰπεῖν· μετὰ δὲ Φαῖδρον, ἄλλους τινὰς εἶναι, ὧν οὐ πάνυ διεμνημόνευεν· οὓς παρεὶς, τὸν Παυσανίου λόγον διηγεῖτο. εἰπεῖν δ' αὐτὸν ὅτι, Οὐ καλῶς μοι δοκεῖ, ὦ Φαῖδρε, προβεβλῆσθαι ἡμῖν ὁ λόγος, τὸ ἁπλῶς οὕτω παρηγγέλθαι ἐγκωμιάζειν Ἔρωτα. εἰ μὲν γὰρ εἷς ἦν ὁ Ἔρως, καλῶς ἂν εἶχε. νῦν δὲ οὐ γάρ ἐστιν εἷς. μὴ ὄντος δὲ ἑνὸς, ὀρθότερόν ἐστι πρότερον προῤῥηθῆναι, ὁποῖον δεῖ ἐπαινεῖν. ἐγὼ οὖν πειράσομαι τοῦτο ἐπανορθώσασθαι. πρῶτον μὲν Ἔρωτα φράσαι, ὃν δεῖ ἐπαινεῖν, ἔπειτα ἐπαινέσαι ἀξίως τοῦ θεοῦ. πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ Ἔρωτος Ἀφροδίτη· ταύτης δὲ μιᾶς μὲν οὔσης, εἷς ἂν ἦν Ἔρως· ἐπεὶ δὲ δύο ἐστὸν, δύο ἀνάγκη καὶ Ἔρωτε εἶναι. πῶς δ' οὐ δύο τὼ θεά; ἡ μέν γέ που, πρεσβυτέρα, καὶ ἀμήτωρ, Οὐρανοῦ θυγά-

τηρ, ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζομεν· ἡ δὲ νεωτέρα, Διὸς καὶ Διώνης, ἣν δὴ πάνδημον καλοῦμεν. ἀναγκαῖον δὴ καὶ Ἔρωτα, τὸν μὲν τῇ ἑτέρᾳ συνεργὸν, πάνδημον ὀρθῶς καλεῖσθαι, τὸν δὲ, οὐράνιον. ἐπαινεῖν μὲν οὖν δεῖ πάντας θεούς· ἃ δ' οὖν ἑκάτερος εἴληχε πειρατέον εἰπεῖν. πᾶσα γὰρ πρᾶξις ὧδ' ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη, οὔτε καλὴ, οὔτε αἰσχρά. οἷον, ὃ νῦν ἡμεῖς ποιοῦμεν, ἢ πίνειν, ἢ ᾄδειν, ἢ διαλέγεσθαι, οὐκ ἔστι τούτων αὐτὸ καθ' αὑτὸ καλὸν οὐδέν· ἀλλ' ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη. καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς, καλὸν γίγνεται· μὴ ὀρθῶς δὲ, αἰσχρόν. οὕτω δὴ καὶ τὸ ἐρᾷν, καὶ ὁ Ἔρως, οὐ πᾶς ἐστι καλὸς, οὐδὲ ἄξιος ἐγκωμιάζεσθαι, ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾷν. ὁ μὲν οὖν τῆς πανδήμου Ἀφροδίτης, ὡς ἀληθῶς πάνδημός ἐστι, καὶ ἐξεργάζεται ὅ, τι ἂν τύχῃ· καὶ οὗτός ἐστιν ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν. ἐρῶσι δὲ οἱ τοιοῦτοι, πρῶτον μὲν οὐχ ἧττον γυναικῶν ἢ παίδων· ἔπειτα, ὧν καὶ ἐρῶσι, τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν· ἔπειτα ὡς ἂν δύνωνται ἀνοητοτάτων· πρὸς τὸ διαπράξασθαι μόνον βλέποντες, ἀμελοῦντες δὲ τοῦ καλῶς, ἢ μή. ὅθεν δὴ ξυμβαίνει αὐτοῖς ὅ, τι ἂν τύχωσι, τοῦτο πράττειν, ὁμοίως μὲν ἀγαθὸν, ὁμοίως δὲ τοὐναντίον. ἔστι γὰρ καὶ ἀπὸ τῆς θεοῦ νεωτέρας τε οὔσης πολὺ ἢ τῆς ἑτέρας, καὶ μετεχούσης ἐν τῇ γενέσει καὶ θήλεος καὶ ἄῤῥενος· ὁ δὲ, τῆς οὐρανίας, πρῶτον μὲν, οὐ μετεχούσης θήλεος, ἀλλ' ἄῤῥενος μόνον· καὶ ἔστιν οὗτος ὁ τῶν παίδων ἔρως· ἔπειτα πρεσβυτέρας, ὕβρεως ἀμοίρου.

ὅθεν δὴ ἐπὶ τὸ ἄῤῥεν τρέπονται οἱ ἐκ τούτου ἔρωτος ἔπιπνοι, τὸ φύσει ἐῤῥωμενέστερον καὶ νοῦν μᾶλλον ἔχον ἀγαπῶντες. καί τις ἂν γνοίη καὶ ἐν αὐτῇ τῇ παιδεραστίᾳ τοὺς εἰλικρινῶς ὑπὸ τούτου τοῦ ἔρωτος ὡρμημένους. οὐ γὰρ ἐρῶσι παίδων, ἀλλ' ἐπειδὰν ἤδη ἄρχωνται νοῦν ἴσχειν. τοῦτο δὲ πλησιάζει τῷ γενειάσκειν. παρεσκευασμένοι γάρ, οἶμαι, εἰσὶν οἱ ἐντεῦθεν ἀρχόμενοι ἐρᾷν, ὡς τὸν βίον ἅπαντα ξυνεσόμενοι, καὶ κοινῇ συμβιωσόμενοι· ἀλλ' οὐκ, ἐξαπατήσαντες, ἐν ἀφροσύνῃ λαβόντες, ὡς νέον καταγελάσαντες, οἰχήσεσθαι ἐπ' ἄλλον ἀποτρέχοντες. χρῆν δὲ καὶ νόμον εἶναι, μὴ ἐρᾷν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο. τὸ γὰρ τῶν παίδων τέλος ἄδηλον οἷ τελευτᾷ κακίας καὶ ἀρετῆς ψυχῆς τε πέρι καὶ σώματος. οἱ μὲν οὖν ἀγαθοὶ τὸν νόμον τοῦτον αὐτοὶ αὑτοῖς ἑκόντες τίθενται· χρὴ δὲ καὶ τούτους τοὺς πανδήμους ἐραστὰς προσαναγκάζειν τὸ τοιοῦτον, ὥσπερ καὶ τῶν ἐλευθέρων γυναικῶν προσαναγκάζομεν αὐτοὺς καθόσον δυνάμεθα μὴ ἐρᾷν. οὗτοι γάρ εἰσιν οἱ καὶ τὸ ὄνειδος πεποιηκότες, ὥστε τινὰ τολμᾷν λέγειν ὡς αἰσχρὸν χαρίζεσθαι ἐρασταῖς. λέγουσι δὲ εἰς τούτους ἀποβλέποντες, ὁρῶντες αὐτῶν τὴν ἀκαιρίαν καὶ ἀδικίαν. ἐπεὶ οὐ δήπου κοσμίως τε καὶ νομίμως ὁτιοῦν πρᾶγμα πραττόμενον, ψόγον ἂν δικαίως φέροι. καὶ δὴ καὶ ὁ περὶ τὸν ἔρωτα νόμος ἐν μὲν ταῖς ἄλλαις πόλεσι νοῆσαι ῥᾴδιος· ἁπλῶς γὰρ ὥρισται· ὁ δ' ἐνθάδε καὶ ὁ ἐν Λακεδαίμονι, ποικίλος. ἐν Ἤλιδι μὲν γὰρ καὶ ἐν Βοιωτοῖς, καὶ οὗ μὴ σοφοὶ λέγειν, ἁπλῶς νενομοθέτηται

καλὸν τὸ χαρίζεσθαι ἐρασταῖς· καὶ οὐκ ἄν τις εἴποι οὔτε νέος οὔτε παλαιὸς ὡς αἰσχρόν· (ἵνα, οἶμαι, μὴ πράγματ' ἔχωσι, λόγῳ πειρώμενοι πείθειν τοὺς νέους, ἅτε ἀδύνατοι λέγειν) τῆς δὲ Ἰωνίας καὶ ἄλλοθι πολλαχοῦ αἰσχρὸν νενόμισται, ὅσοι ὑπὸ βαρβάροις οἰκοῦσι. τοῖς γὰρ βαρβάροις διὰ τὰς τυραννίδας αἰσχρὸν τοῦτό γε, καὶ ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία. οὐ γὰρ, οἶμαι, συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων, οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας· ὃ δὴ μάλιστα φιλεῖ τά τε ἄλλα πάντα καὶ ὁ ἔρως ἐμποιεῖν. ἔργῳ δὲ τοῦτο ἔμαθον καὶ οἱ ἐνθάδε τύραννοι. ὁ γὰρ Ἀριστογείτονος ἔρως καὶ Ἁρμοδίου φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν. οὕτως, οὗ μὲν αἰσχρὸν ἐτέθη χαρίζεσθαι ἐρασταῖς, κακίᾳ τῶν θεμένων κεῖται· τῶν μὲν ἀρχόντων πλεονεξίᾳ, τῶν δὲ ἀρχομένων ἀνανδρίᾳ· οὗ δὲ καλὸν ἁπλῶς ἐνομίσθη, διὰ τὴν τῶν θεμένων τῆς ψυχῆς ἀργίαν. ἐνθάδε δὲ πολὺ τούτων κάλλιον νενομοθέτηται· καὶ, ὅπερ εἶπον, οὐ ῥᾴδιον κατανοῆσαι. ἐνθυμηθέντι γὰρ, ὅτι λέγεται, κάλλιον τὸ φανερῶς ἐρᾷν τοῦ λάθρα, καὶ μάλιστα τῶν γενναιοτάτων καὶ ἀρίστων, καὶ ἂν αἰσχίους ἄλλων ὦσι· καὶ ὅτι αὖ ἡ παρακέλευσις τῷ ἐρῶντι παρὰ πάντων θαυμαστὴ, οὐχ ὥς τι αἰσχρὸν ποιοῦντι· καὶ ἑλόντι τε, καλὸν δοκεῖ εἶναι, καὶ μὴ ἑλόντι αἰσχρόν· καὶ πρὸς τὸ ἐπιχειρεῖν ἑλεῖν, ἐξουσίαν ὁ νόμος δέδωκε τῷ ἐραστῇ, θαυμαστὰ ἔργα ἐργαζομένῳ ἐπαινεῖσθαι· ἃ εἴτις τολμῴη ποιεῖν, ἄλλ' ὁτιοῦν διώκων καὶ βουλόμενος διαπράξασθαι πλὴν

τοῦτο, φιλοσοφίας τὰ μέγιστα καρποῖτ' ἂν ὀνείδη. εἰ γὰρ ἢ χρήματα βουλόμενος παρά του λαβεῖν, ἢ ἀρχὴν ἄρξαι, ἤ τιν' ἄλλην δύναμιν ἐθέλει ποιεῖν, οἷά περ οἱ ἐρασταὶ πρὸς τὰ παιδικά, ἱκετείας τε καὶ ἀντιβολήσεις ἐν ταῖς δεήσεσι ποιούμενοι, καὶ ὅρκους ὀμνύντες, καὶ κοιμήσεις ἐπὶ θύραις, καὶ ἐθελοντὰς δουλείας δουλεύειν, οἵας οὐδ' ἂν δοῦλος οὐδείς, ἐμποδίζοιτο ἂν μὴ πράττειν οὕτω τὴν πρᾶξιν καὶ ὑπὸ φίλων καὶ ὑπὸ ἐχθρῶν, τῶν μὲν, ὀνειδιζόντων κολακείας καὶ ἀνελευθερίας, τῶν δὲ νουθετούντων, καὶ αἰσχυνομένων ὑπὲρ αὐτῶν· τῷ δ' ἐρῶντι ταῦτα πάντα ποιοῦντι χάρις ἔπεστι, καὶ δέδοται ὑπὸ τοῦ νόμου, ἄνευ ὀνείδους πράττειν, ὡς πάγκαλόν τι πρᾶγμα διαπραττομένῳ. ὃ δὲ δεινότατον, ὥς γε λέγουσιν οἱ πολλοὶ, ὅτι καὶ ὀμνύντι μόνῳ συγγνώμη παρὰ θεῶν ἐκβάντι τῶν ὅρκων. ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι. οὕτω καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ ἐρῶντι, ὡς ὁ νόμος φησὶν ὁ ἐνθάδε. ταύτῃ μὲν οὖν οἰηθείη ἄν τις πάγκαλον νομίζεσθαι ἐν τῇδε τῇ πόλει καὶ τὸ ἐρᾷν καὶ τὸ φίλους γίγνεσθαι τοῖς ἐρασταῖς. ἐπειδὰν δὲ παιδαγωγοὺς ἐπιστήσαντες οἱ πατέρες τοῖς ἐρωμένοις, μὴ ἐῶσι διαλέγεσθαι τοῖς ἐρασταῖς, καὶ τῷ παιδαγωγῷ ταῦτα προστεταγμένα ᾖ, ἡλικιῶται δὲ καὶ ἕτεροι ὀνειδίζωσιν, ἐάν τι ὁρῶσι τοιοῦτο γιγνόμενον, καὶ τοὺς ὀνειδίζοντας αὖ οἱ πρεσβύτεροι μὴ διακωλύωσι, μηδὲ λοιδορῶσιν ὡς οὐκ ὀρθῶς λέγοντας· εἰς δὴ ταῦτά τις αὖ βλέψας, ἡγήσαιτ' ἂν πάλιν αἴσχιστον τὸ τοιοῦτον ἐνθάδε νομίζεσθαι. τὸ

δὲ, οἶμαι, ὧδ᾽ ἔχει· οὐχ ἁπλοῦν ἐστιν ὅπερ ἐξ ἀρχῆς ἐλέχθη οὔτε καλὸν εἶναι αὐτὸ καθ᾽ αὑτὸ, οὔτε αἰσχρόν· ἀλλὰ καλῶς μὲν πραττόμενον, καλόν· αἰσχρῶς δὲ, αἰσχρόν. αἰσχρὸν μὲν οὖν ἐστι πονηρῷ τε καὶ πονηρῶς χαρίζεσθαι· καλὸν δὲ, χρηστῷ τε καὶ καλῶς. πονηρὸς δ᾽ ἔστιν ἐκεῖνος ὁ ἐραστὴς ὁ πάνδημος, ὁ τοῦ σώματος μᾶλλον ἐρῶν ἢ τῆς ψυχῆς. καὶ γὰρ οὐδὲ μόνιμός ἐστιν, ἅτε οὐδὲ μονίμου ἐρῶν πράγματος. ἅμα γὰρ τῷ τοῦ σώματος ἄνθει λήγοντι, οὗπερ ἤρα, οἴχεται ἀποπτάμενος, πολλοὺς λόγους καὶ ὑποσχέσεις καταισχύνας. ὁ δὲ τοῦ ἤθους χρηστοῦ ὄντος ἐραστὴς διὰ βίου μένει, ἅτε μονίμῳ συντακείς. τούτους δὴ βούλεται ὁ ἡμέτερος νόμος εὖ καὶ καλῶς βασανίζειν· καὶ τοῖς μὲν χαρίσασθαι, τοὺς δὲ διαφεύγειν. διὰ ταῦτα οὖν τοῖς μὲν διώκειν παρακελεύεται, τοῖς δὲ φεύγειν· ἀγωνοθετῶν καὶ βασανίζων ποτέρων ποτέ ἐστιν ὁ ἐρῶν, καὶ ποτέρων ὁ ἐρώμενος. οὕτω δὴ ὑπὸ ταύτης τῆς αἰτίας, πρῶτον μὲν τὸ ἁλίσκεσθαι ταχὺ, αἰσχρὸν νενόμισται· (ἵνα χρόνος ἐγγένηται, ὃς δὴ δοκεῖ τὰ πολλὰ καλῶς βασανίζειν) ἔπειτα τὸ ὑπὸ χρημάτων καὶ ὑπὸ πολιτικῶν δυνάμεων ἁλῶναι, αἰσχρὸν, ἐάν τε κακῶς πάσχων πτήξῃ, καὶ μὴ καρτερήσῃ, ἄν τ᾽ εὐεργετούμενος εἰς χρήματα ἢ εἰς διαπράξεις πολιτικὰς, μὴ καταφρονήσῃ. οὐδὲν γὰρ δοκεῖ τούτων οὔτε βέβαιον οὔτε μόνιμον εἶναι, χωρὶς τοῦ μηδὲ πεφυκέναι ἀπ᾽ αὐτῶν γενναίαν φιλίαν. μία δὴ λείπεται τῷ ἡμετέρῳ νόμῳ ὁδὸς, εἰ μέλλει καλῶς χαριεῖσθαι ἐραστῇ παιδικά. ἔστι γὰρ ἡμῖν νόμος, ὥσπερ ἐπὶ τοῖς ἐρασταῖς ἦν, δουλεύειν

ἐθέλοντα ἥντινοῦν δουλείαν παιδικοῖς, μὴ κολακείαν εἶναι, μηδὲ ἐπονείδιστον. οὕτω δὴ καὶ ἄλλη μία μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος. αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν, ἐάν τις ἐθέλῃ τινὰ θεραπεύειν, ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι ἢ κατὰ σοφίαν τινὰ ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς, αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρὰ εἶναι, οὐδὲ κολακεία. δεῖ δὴ τὼ νόμω τούτω συμβαλεῖν εἰς ταὐτὸ, τόν τε περὶ τὴν παιδεραστίαν, καὶ τὸν περὶ τὴν φιλοσοφίαν τε καὶ τὴν ἄλλην ἀρετήν· εἰ μέλλει ξυμβῆναι καλὸν γενέσθαι τῷ ἐραστῇ παιδικὰ χαρίσασθαι. ὅταν γὰρ εἰς τὸ αὐτὸ ἔλθωσιν ἐραστής τε καὶ παιδικὰ, νόμον ἔχων ἑκάτερος, ὁ μὲν χαρισαμένοις παιδικοῖς ὑπηρετῶν ὁτιοῦν, δικαίως ἂν ὑπηρετεῖν, ὁ δὲ, τῷ ποιοῦντι αὐτὸν σοφόν τε καὶ ἀγαθὸν, δικαίως ἂν ὁτιοῦν ἂν ὑπουργεῖν· καὶ ὁ μὲν, δυνάμενος εἰς φρόνησιν καὶ τὴν ἄλλην ἀρετὴν ξυμβάλλεσθαι, ὁ δὲ, δεόμενος εἰς παίδευσιν καὶ τὴν ἄλλην σοφίαν κτᾶσθαι· τότε δὴ τούτων ξυνιόντων εἰς ταὐτὸν τῶν νόμων, μοναχοῦ ἐνταῦθα ξυμπίπτει τὸ καλὸν εἶναι παιδικὰ ἐραστῇ χαρίσασθαι, ἄλλοθι δὲ οὐδαμοῦ. ἐπὶ τούτῳ καὶ ἐξαπατηθῆναι οὐδὲν αἰσχρόν· ἐπὶ δὲ τοῖς ἄλλοις πᾶσι καὶ ἐξαπατωμένῳ αἰσχύνην φέρει καὶ μή. εἰ γάρ τις ἐραστῇ, ὡς πλουσίῳ, πλούτου ἕνεκα χαρισάμενος ἐξαπατηθείη, καὶ μὴ λάβοι χρήματα, ἀναφανέντος τοῦ ἐραστοῦ πένητος, οὐδὲν ἧττον αἰσχρόν. δοκεῖ γὰρ ὁ τοιοῦτος τό γε αὑτοῦ ἐπιδεῖξαι, ὅτι ἕνεκα χρημάτων ὁτιοῦν ἂν ὁτῳοῦν ὑπηρετοῖ· τοῦτο δὲ οὐ καλόν.

κατὰ τὸν αὐτὸν δὴ λόγον κἂν εἴτις ὡς ἀγαθῷ χαρισάμενος, καὶ αὐτὸς ὡς ἀμείνων ἐσόμενος διὰ τὴν φιλίαν ἐραστοῦ, ἐξαπατηθείη, ἀναφανέντος ἐκείνου κακοῦ, καὶ οὐ κεκτημένου ἀρετὴν, ὅμως καλὴ ἡ ἀπάτη. δοκεῖ γὰρ αὖ καὶ οὗτος τὸ καθ᾽ αὑτὸν δεδηλωκέναι ὅτι ἀρετῆς ἕνεκα καὶ τοῦ βελτίων γενέσθαι πᾶν ἂν παντὶ προθυμηθείη· τοῦτο δὲ αὖ πάντων κάλλιστον. οὕτω πάντως γε καλὸν ἀρετῆς γ᾽ ἕνεκα χαρίζεσθαι. οὗτός ἐστιν ὁ τῆς Οὐρανίας θεοῦ ἔρως, καὶ οὐράνιος, καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις· πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶντα αὐτὸν αὑτοῦ, καὶ τὸν ἐρώμενον· οἱ δ᾽ ἕτεροι πάντες, τῆς ἑτέρας, τῆς πανδήμου. Ταῦτά σοι, ἔφη, ὡς ἐκ τοῦ παραχρῆμα, ὦ Φαῖδρε, περὶ Ἔρωτος συμβάλλομαι. Παυσανίου δὲ παυσαμένου (διδάσκουσι γάρ με ἴσα λέγειν οὑτωσὶ οἱ σοφοὶ) ἔφη ὁ Ἀριστόδημος δεῖν μὲν Ἀριστοφάνην λέγειν, τυχεῖν δὲ αὐτῷ τινα ἢ ὑπὸ πλησμονῆς ἢ ὑπό τινος ἄλλου λύγγα ἐπιπεπτωκυῖαν· καὶ οὐχ οἷόν τε εἶναι λέγειν, ἀλλ᾽ εἰπεῖν αὐτὸν, (ἐγγυτάτω γὰρ αὐτοῦ τὸν ἰατρὸν Ἐρυξίμαχον κατακεῖσθαι) Ὦ Ἐρυξίμαχε, δίκαιος εἶ ἢ παῦσαί με τῆς λυγγὸς, ἢ λέγειν ὑπὲρ ἐμοῦ, ἕως ἂν ἐγὼ παύσωμαι. Καὶ τὸν Ἐρυξίμαχον εἰπεῖν, Ἀλλὰ ποιήσω ἀμφότερα ταῦτα. ἐγὼ μὲν γὰρ ἐρῶ ἐν τῷ σῷ μέρει· σὺ δ᾽ ἐπειδὰν παύσῃ, ἐν τῷ ἐμῷ. ἐν ᾧ δ᾽ ἂν ἐγὼ λέγω, ἐὰν μέν σοι ἐθέλῃ ἀπνευστὶ ἔχοντι πολὺν χρόνον παύεσθαι ἡ λύγξ· εἰ δὲ μὴ, ὕδατι ἀνακογχυλίασον. εἰ δ᾽ ἄρα πάνυ ἰσχυρά ἐστιν, ἀναλαβών τι τοιοῦτο οἵῳ κινήσαις ἂν τὴν

ῥῖνα, πτάρε· καὶ ἐὰν τοῦτο ποιήσῃς ἅπαξ ἢ δὶς, καὶ εἰ πάνυ ἰσχυρά ἐστι, παύσεται. Οὐκ ἂν φθάνοις λέγων, εἰπεῖν τὸν Ἀριστοφάνην· ἐγὼ δὲ ταῦτα ποιήσω. Εἰπεῖν δὴ τὸν Ἐρυξίμαχον, Δοκεῖ τοίνυν μοὶ ἀναγκαῖον εἶναι, ἐπειδὴ Παυσανίας ὁρμήσας ἐπὶ τὸν λόγον καλῶς, οὐχ ἱκανῶς ἀπετέλεσε, δεῖν ἐμὲ πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ διπλοῦν εἶναι τὸν Ἔρωτα, δοκεῖ μοι καλῶς διελέσθαι· ὅτι δὲ οὐ μόνον ἐστὶν ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων πρὸς τοὺς καλοὺς, ἀλλὰ καὶ πρὸς ἄλλα πολλὰ, καὶ ἐν τοῖς ἄλλοις τοῖς τε σώμασι τῶν πάντων ζώων, καὶ τοῖς ἐν τῇ γῇ φυομένοις, καὶ, ὡς ἔπος εἰπεῖν, ἐν πᾶσι τοῖς οὖσι, καθεωρακέναι μοὶ δοκῶ ἐκ τῆς ἰατρικῆς, τῆς ἡμετέρας τέχνης· καὶ ὡς μέγας καὶ θαυμαστὸς, καὶ ἐπὶ πᾶν ὁ θεὸς τείνει, καὶ κατ' ἀνθρώπινα καὶ κατὰ θεῖα πράγματα. ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων, ἵνα καὶ πρεσβεύωμεν τὴν τέχνην. ἡ γὰρ φύσις τῶν σωμάτων τὸν διπλοῦν Ἔρωτα τοῦτον ἔχει. τὸ γὰρ ὑγιὲς τοῦ σώματος καὶ τὸ νοσοῦν ὁμολογουμένως ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι· τὸ δὲ ἀνόμοιον ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ. ἄλλος μὲν οὖν ὁ ἐπὶ τῷ ὑγιεινῷ ἔρως, ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει. ἔστι δὴ, ὥσπερ ἄρτι Παυσανίας ἔλεγε, τοῖς μὲν ἀγαθοῖς καλὸν χαρίζεσθαι τῶν ἀνθρώπων, τοῖς δὲ ἀκολάστοις αἰσχρόν. οὕτω καὶ ἐν αὐτοῖς τοῖς σώμασι, τοῖς μὲν ἀγαθοῖς ἑκάστου τοῦ σώματος καὶ ὑγιεινοῖς καλὸν χαρίζεσθαι, καὶ δεῖ, καὶ τοῦτό ἐστιν ᾧ ὄνομα τὸ ἰατρικόν· τοῖς δὲ κακοῖς καὶ νοσώδεσιν αἰσχρόν τε, καὶ δεῖ ἀχαριστεῖν, εἰ μέλλει τις τεχνικὸς εἶναι. ἔστι γὰρ

ἰατρική, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἐπιστήμη τῶν τοῦ σώματος ἐρωτικῶν πρὸς πλησμονὴν καὶ κένωσιν. καὶ ὁ διαγιγνώσκων ἐν τούτοις τὸν καλόν τε καὶ αἰσχρὸν ἔρωτα, οὗτός ἐστιν ὁ ἰατρικώτατος· καὶ ὁ μεταβάλλειν ποιῶν, ὥστε ἀντὶ τοῦ ἑτέρου ἔρωτος τὸν ἕτερον κτήσασθαι. καὶ οἷς μὴ ἔνεστιν ἔρως, δεῖ δ' ἐγγενέσθαι, ἐπιστάμενος ἐμποιῆσαι, καὶ ἐνόντα ἐξελεῖν, ἀγαθὸς ἂν εἴη δημιουργός. δεῖ γὰρ δὴ τὰ ἔχθιστα ὄντα ἐν τῷ σώματι, φίλα οἷόντ' εἶναι ποιεῖν, καὶ ἐρᾷν ἀλλήλων. ἔστι δὲ ἔχθιστα, τὰ ἐναντιώτατα· ψυχρὸν θερμῷ, πικρὸν γλυκεῖ, ξηρὸν ὑγρῷ. πάντα τὰ τοιαῦτα τούτοις ἐπιστηθεὶς ἔρωτα ἐμποιῆσαι καὶ ὁμόνοιαν ὁ ἡμέτερος πρόγονος Ἀσκληπιὸς, ὥς φασιν οἵδε οἱ ποιηταὶ, καὶ ἐγὼ πείθομαι, συνέστησε τὴν ἡμετέραν τέχνην. ἥ τε οὖν ἰατρικὴ, ὥσπερ λέγω, πᾶσα διὰ τοῦ θεοῦ τούτου κυβερνᾶται, ὡσαύτως δὲ καὶ γυμναστικὴ, καὶ γεωργία· μουσικὴ δὲ καὶ παντὶ κατάδηλος τῷ καὶ μικρὸν προσέχοντι τὸν νοῦν ὅτι κατὰ ταὐτὰ ἔχει τούτοις· ὥσπερ ἴσως καὶ Ἡράκλειτος βούλεται λέγειν. ἐπεὶ τοῖς γε ῥήμασιν οὐ καλῶς λέγει. τὸ γὰρ ἓν φησὶ διαφερόμενον αὐτὸ αὑτῷ ξυμφέρεσθαι, ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας. ἔστι δὲ πολλὴ ἀλογία ἁρμονίαν φάναι διαφέρεσθαι, ἢ ἐκ διαφερομένων ἔτι εἶναι. ἀλλ' ἴσως τόδε ἐβούλετο λέγειν, ὅτι ἐκ διαφερομένων πρότερον, τοῦ ὀξέος καὶ βαρέος, ἔπειτα ὕστερον ὁμολογησάντων, γέγονεν ὑπὸ τῆς μουσικῆς τέχνης ἡ ἁρμονία. οὐ γὰρ δήπου ἐκ διαφερομένων γε ἔτι τοῦ ὀξέος καὶ βαρέος ἁρμονία ἂν εἴη. ἡ γὰρ ἁρμονία, συμφωνία ἐστί· συμφωνία

δὲ, ὁμολογία τις· ὁμολογίαν δὲ ἐκ διαφερομένων, ἕως ἂν διαφέρωνται, ἀδύνατον εἶναι. διαφερόμενον δὲ αὖ καὶ μὴ ὁμολογοῦν, ἀδύνατον ἁρμόσαι. ὥσπερ γε καὶ ὁ ῥυθμὸς ἐκ τοῦ ταχέος καὶ βραδέος, ἐκ διενηνεγμένων πρότερον, ὕστερον δὲ ὁμολογησάντων, γέγονε. τὴν δὲ ὁμολογίαν πᾶσι τούτοις, ὥσπερ ἐκεῖ ἡ ἰατρικὴ, ἐνταῦθα ἡ μουσικὴ ἐντίθησιν, ἔρωτα καὶ ὁμόνοιαν ἀλλήλοις ἐμποιήσασα. καὶ ἔστιν αὖ μουσικὴ περὶ ἁρμονίαν καὶ ῥυθμὸν ἐρωτικῶν ἐπιστήμη. καὶ ἐν μέν γε αὐτῇ τῇ συστάσει ἁρμονίας τε καὶ ῥυθμοῦ οὐδὲν χαλεπὸν τὰ ἐρωτικὰ διαγιγνώσκειν· οὐδὲ ὁ διπλοῦς ἔρως ἐνταῦθά πως ἐστίν. ἀλλ' ἐπειδὰν δέῃ πρὸς τοὺς ἀνθρώπους καταχρῆσθαι ῥυθμῷ τε καὶ ἁρμονίᾳ, ἢ ποιοῦντα, ὃ δὴ μελοποιΐαν καλοῦσιν, ἢ χρώμενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις, ὃ δὴ παιδεία ἐκλήθη, ἐνταῦθα δὴ καὶ χαλεπὸν καὶ ἀγαθοῦ δημιουργοῦ δεῖ. πάλιν γὰρ ἥκει ὁ αὐτὸς λόγος, ὅτι τοῖς μὲν κοσμίοις τῶν ἀνθρώπων, καὶ ὡς ἂν κοσμιώτεροι γίγνοιντο οἱ μήπω ὄντες, δεῖ χαρίζεσθαι, καὶ φυλάττειν τὸν τούτων ἔρωτα· κα[illegible] οὗτός ἐστιν ὁ καλὸς, ὁ οὐράνιος, ὁ τῆς Οὐρανί[illegible] Μούσης ἔρως· ὁ δὲ Πολυμνίας, ὁ πάνδημος· ὃν δ[illegible] εὐλαβούμενον προσφέρειν οἷς ἂν προσφέροι, ὅπ[illegible] ὃν τὴν μὲν ἡδονὴν αὐτῷ καρπώσηται, ἀκολασία[illegible] μηδεμίαν ἐμποιήσῃ. ὥσπερ ἐν τῇ ἡμετέρᾳ τέχνῃ [illegible]γα ἔργον ταῖς περὶ τὴν ὀψοποιϊκὴν τέχνην ἐπιθ[illegible]αις καλῶς χρῆσθαι, ὥστ' ἄνευ νόσου τὴν ἡδονὴν [illegible]πώσασθαι. καὶ ἐν μουσικῇ δὴ καὶ ἐν ἰατρικῇ, [illegible] τοῖς ἄλλοις πᾶσι καὶ τοῖς ἀνθρωπείοις καὶ τοῖ[illegible]

οις, καθόσον παρείκοι, φυλακτέον ἑκάτερον τὸν ἔρωτα. ἔνεστον γάρ. ἐπεὶ καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύστασις μεστή ἐστιν ἀμφοτέρων τούτων. καὶ ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, τά τε θερμὰ καὶ τὰ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρὰ, ἁρμονίαν καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς, καὶ οὐδὲν ἠδίκησεν· ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως Ἔρως ἐγκρατέστερος περὶ τὰς τοῦ ἐνιαυτοῦ ὥρας γένηται, διέφθειρέ τε πολλὰ καὶ ἠδίκησεν. οἵτε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων, καὶ ἄλλ' ἀνόμοια πολλὰ νοσήματα καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς. καὶ γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσίβαι ἐκ πλεονεξίας καὶ ἀκοσμίας περὶ ἄλληλα τῶν τοιούτων γίγνεται ἐρωτικῶν· ὧν ἐπιστήμη περὶ ἄστρων τε φορᾶς καὶ ἐνιαυτῶν ὥρας, ἀστρονομία καλεῖται. ἔτι τοίνυν καὶ αἱ θυσίαι ἅπασαι, καὶ οἷς μαντικὴ ἐπιστατεῖ (ταῦτα δ' ἐστὶν ἡ περὶ θεούς τε καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνία) οὐ περὶ ἄλλό τι ἐστὶν ἢ περὶ Ἔρωτος φυλακήν τε καὶ ἴασιν. πᾶσα γὰρ ἡ ἀσέβεια φιλεῖ γίγνεσθαι ἐὰν μή τις τῷ κοσμίῳ Ἔρωτι χαρίζηται, μηδὲ τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ περὶ τὸν ἕτερον, καὶ περὶ γονέας καὶ ζῶντας καὶ τετελευτηκότας, καὶ περὶ θεούς. ἃ δὴ προστέτακται τῇ μαντικῇ ἐπισκοπεῖν τοὺς Ἔρωτας, καὶ ἰατρεύειν. καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν καὶ ἀνθρώπων δημιουργὸς, τῷ ἐπίστασθαι τὰ κατὰ ἀνθρώπους ἐρωτικὰ, ὅσα τείνει πρὸς θέμιν καὶ ἀσέβειαν. οὔτω

πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς Ἔρως· ὁ δὲ περὶ τὰ ἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος, καὶ παρ' ἡμῖν καὶ παρὰ θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει, καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένους ὁμιλεῖν, καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς. ἴσως μὲν οὖν καὶ ἐγὼ τὸν Ἔρωτα ἐπαινῶν, πολλὰ παραλείπω, οὐ μέντοι ἑκών γε· ἀλλ' εἴτι ἐξέλιπον, σὸν ἔργον, ὦ Ἀριστόφανες, ἀναπληρῶσαι· ἤ, εἴπως ἄλλως ἐν νῷ ἔχεις ἐγκωμιάζειν τὸν θεὸν, ἐγκωμίαζε, ἐπειδὴ τῆς λυγγὸς πέπαυσαι. Ἐκδεξάμενον οὖν ἔφη εἰπεῖν τὸν Ἀριστοφάνην, ὅτι καὶ μάλ' ἐπαύσατο· οὐ μέντοι πρίν γε τὸν πταρμὸν προσενεχθῆναι αὐτῇ. ὥστέ με θαυμάζειν, εἰ τὸ κόσμιον τοῦ σώματος ἐπιθυμεῖ τοιούτων ψόφων καὶ γαργαλισμῶν, οἷον καὶ ὁ πταρμός ἐστι. πάνυ γὰρ εὐθὺς ἐπαύσατο, ἐπειδὴ αὐτῷ τὸν πταρμὸν προσήνεγκα. Καὶ τὸν Ἐρυξίμαχον, Ὦ 'γαθὲ, φάναι, Ἀριστόφανες, ὅρα τί ποιεῖς. γελωτοποιεῖς, μέλλων λέγειν, καὶ φύλακα μὲ τοῦ λόγου ἀναγκάζεις γίγνεσθαι τοῦ σεαυτοῦ, ἐάν τι γελοῖον εἴπῃς· ἐξόν σοι ἐν εἰρήνῃ λέγειν. Καὶ τὸν Ἀριστοφάνη γελάσαντα εἰπεῖν, Εὖ λέγεις, Ἐρυξίμαχε. καί μοι ἔστω ἄῤῥητα τὰ εἰρημένα. ἀλλὰ μή με φύλαττε· ὡς ἐγὼ φοβοῦμαι περὶ τῶν μελλόντων ῥηθήσεσθαι, οὔτι μὴ γελοῖα εἴπω (τοῦτο μὲν γὰρ ἂν κέρδος εἴη, καὶ τῆς ἡμετέρας Μούσης ἐπιχώριον) ἀλλὰ μὴ καταγέλαστα. Βαλών γε, φάναι, ὦ Ἀριστόφανες, οἴει ἐκφεύξεσθαι· ἀλλὰ πρόσεχε τὸν νοῦν, καὶ οὕτω λέγε ὡς δώσων λό-

γον. ἴσως μέντοι, ἂν δόξῃ μοὶ, ἀφήσω σε. Καὶ μὴν, ὦ Ἐρυξίμαχε, εἰπεῖν τὸν Ἀριστοφάνη, ἄλλῃ γέ πῃ ἐν νῷ ἔχω λέγειν, ἢ ᾗ σύ τε καὶ Παυσανίας εἰπέτην. ἐμοὶ γὰρ δοκοῦσιν ἄνθρωποι παντάπασι τὴν τοῦ ἔρωτος δύναμιν οὐκ ᾐσθῆσθαι. ἐπεὶ αἰσθανόμενοί γε μέγιστ᾽ ἂν αὐτοῦ ἱερὰ κατασκευάσαι καὶ βωμοὺς, καὶ θυσίας ἂν ποιεῖν μεγίστας· οὐχ ὥσπερ νῦν τούτων οὐδὲν γίγνεται περὶ αὐτὸν, δέον πάντων μάλιστα γίγνεσθαι. ἔστι γὰρ θεῶν φιλανθρωπότατος, ἐπίκουρός τε ὢν τῶν ἀνθρώπων, καὶ ἰατρὸς τούτων· ὧν ἰαθέντων μεγίστη ἂν εὐδαιμονία τῷ ἀνθρωπείῳ γένει εἴη. ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰσηγήσασθαι τὴν δύναμιν αὐτοῦ· ὑμεῖς δὲ τῶν ἄλλων διδάσκαλοι ἔσεσθε. δεῖ δὲ πρῶτον ὑμᾶς μαθεῖν τὴν ἀνθρωπίνην φύσιν, καὶ τὰ παθήματα αὐτῆς. ἡ γὰρ πάλαι ἡμῶν φύσις οὐχ αὕτη ἦν ἥπερ νῦν, ἀλλὰ ἀλλοία. πρῶτον μὲν γὰρ τρία ἦν τὰ γένη τὰ τῶν ἀνθρώπων· οὐχ, ὥσπερ νῦν, δύο, ἄῤῥεν καὶ θῆλυ· ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν ὂν ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα λοιπὸν, αὐτὸ δὲ ἠφάνισται. ἀνδρόγυνον γὰρ ἓν τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄῤῥενος καὶ θήλεος· νῦν δ᾽ οὐκ ἔστιν ἀλλ᾽ ἢ ἐν ὀνείδει ὄνομα κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον. χεῖρας δὲ τέτταρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσί· καὶ πρόσωπα δύο ἐπ᾽ αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ· κεφαλὴν δ᾽ ἐπ᾽ ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν, καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο· καὶ τἄλλα πάντα ὡς ἀπὸ

τούτων ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ καὶ ὀρθὸν, ὥσπερ νῦν, ὁποτέρωσε βουληθείη· καὶ ὁπότε ταχὺ ὁρμήσειεν ἐλθεῖν, ὥσπερ οἱ κυβιστῶντες καὶ εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι κυβιστῶσι κύκλῳ, τότε ὀκτὼ οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι, ταχὺ ἐφέροντο κύκλῳ. ἦν δὲ διὰ ταῦτα τρία τὰ γένη καὶ τοιαῦτα, ὅτι τὸ μὲν ἄῤῥεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον, τὸ δὲ θῆλυ, τῆς γῆς· τὸ δὲ ἀμφοτέρων μετέχον, τῆς σελήνης, ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων μετέχει. περιφερῆ δὲ δὴ ἦν καὶ αὐτὰ, καὶ ἡ πορεία αὐτῶν, διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. ἦν οὖν τὴν ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην, καὶ τὰ φρονήματα μεγάλα εἶχον. ἐπεχείρησαν δὲ τοῖς θεοῖς· καὶ ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλτου τε καὶ Ὤτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς θεοῖς. ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύοντο ὅ, τι χρὴ αὐτοὺς ποιῆσαι· καὶ ἠπόρουν. οὔτε γὰρ ὅπως ἀποκτείναιεν εἶχον, καὶ, ὥσπερ τοὺς γίγαντας, κεραυνώσαντες, τὸ γένος ἀφανίσαιεν (αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο) οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν. μόγις δὴ ὁ Ζεὺς ἐννοήσας λέγει ὅτι, Δοκῶ μοι, ἔφη, ἔχειν μηχανὴν, ὡς ἂν εἶέν τε ἄνθρωποι, καὶ παύσαιντο τῆς ἀκολασίας, ἀσθενέστεροι γενόμενοι. νῦν μὲν γὰρ αὐτοὺς, ἔφη, διατεμῶ δίχα ἕκαστον· καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι ἡμῖν, διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι. καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δέ τι δοκῶσιν ἀσελγαίνειν, καὶ μὴ ἐθέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ, ἔφη, τεμῶ δίχα· ὥστ᾽ ἐφ᾽ ἑνὸς πο-

ρεύσονται σκέλους ἀσκωλιάζοντες. ταῦτα εἰπὼν ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὠὰ τέμνοντες, καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ὠὰ ταῖς θριξίν. ὅντινα δὲ τέμοι, τὸν Ἀπόλλω ἐκέλευε τό, τε πρόσωπον μεταστρέφειν καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομὴν, ἵνα θεώμενος τὴν αὑτοῦ τμῆσιν κοσμιώτερος εἴη ὁ ἄνθρωπος· καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν. ὁ δὲ τό, τε πρόσωπον μετέστρεφε, καὶ συνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ σύσπαστα βαλάντια, ἓν στόμα ποιῶν, ἀπέδει κατὰ μέσην τὴν γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσι. καὶ τὰς μὲν ἄλλας ῥυτίδας τὰς πολλὰς ἐξελέαινε, καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοιοῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι, περὶ τὸν καλάποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας. ὀλίγας δὲ κατέλιπε τὰς περὶ αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλὸν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους. ἐπειδὴ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὑτοῦ, ξυνῄει, καὶ περιβάλλοντες τὰς χεῖρας, καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες συμφῦναι, ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας, διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν· καὶ ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει, καὶ συνεπλέκετο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει (ὃ δὴ νῦν γυναῖκα καλοῦμεν) εἴτ' ἀνδρός· καὶ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς, ἄλλην μηχανὴν πορίζεται, καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν. τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον, καὶ ἐγέννων, καὶ ἔτικτον, οὐκ εἰς ἀλλήλους, ἀλλ' εἰς γῆν, ὥσπερ οἱ

τέττιγες. μετέθηκέ τε οὖν οὕτως αὐτῶν εἰς τὸ πρόσθεν, καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησε, διὰ τοῦ ἄῤῥενος ἐν τῷ θήλει· τῶνδε ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ, ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν, καὶ γίγνοιτο τὸ γένος· ἅμα δ' εἰ καὶ ἄῤῥενι, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας, καὶ διαναπαύοιντο, καὶ ἐπὶ τὰ ἔργα τρέποιντο, καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις, καὶ τῆς ἀρχαίας φύσεως συναγωγεὺς, καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν, καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου ξύμβολον, ἅτε τετμημένος, ὥσπερ αἱ ψῆτται, ἐξ ἑνὸς δύο. ζητεῖ δὴ ἀεὶ τὸ ἑαυτοῦ ἕκαστον ξύμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμῆμά εἰσιν, (ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο) φιλογύναικές τε εἰσὶ, καὶ οἱ πολλοὶ τῶν μοιχῶν ἐκ τούτου τοῦ γένους γεγόνασι· καὶ ὅσαι αὖ γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι, ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσαι δὲ τῶν γυναικῶν γυναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσί· καὶ αἱ ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι δὲ ἄῤῥενος τμῆμά εἰσι, τὰ ἄῤῥενα διώκουσι· καὶ τέως μὲν ἂν παῖδες ὦσιν, ἅτε τεμμάχια ὄντα τοῦ ἄῤῥενος, φιλοῦσι τοὺς ἄνδρας, καὶ χαίρουσι συγκατακείμενοι καὶ συμπεπλεγμένοι τοῖς ἀνδράσι· καί εἰσιν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων, ἅτε ἀνδρειότατοι ὄντες φύσει. φασὶ δὲ δή τινες αὐτοὺς ἀναισχύντους εἶναι, ψευδόμενοι. οὐ

γὰρ ὑπ᾽ ἀναισχυντίας τοῦτο δρῶσιν, ἀλλ᾽ ὑπὸ θάῤῥους καὶ ἀνδρίας καὶ ἀῤῥενωπίας τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμήριον. καὶ γὰρ τελεωθέντες, μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι· ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι, καὶ πρὸς γάμους καὶ παιδοποιΐας οὐ προσέχουσι τὸν νοῦν φύσει, ἀλλὰ ὑπὸ τοῦ νόμου ἀναγκάζονται· ἀλλ᾽ ἐξαρκεῖ αὐτοῖς μετ᾽ ἀλλήλων καταζῆν ἀγάμοις. πάντως μὲν οὖν ὁ τοιοῦτος, παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται, ἀεὶ τὸ ξυγγενὲς ἀσπαζόμενος. ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὐτοῦ ἡμίσει καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς, τότε καὶ θαυμαστὰ ἐκπλήττονται, φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι οὐκ ἐθέλοντες, ὡς ἔπος εἰπεῖν, χωρίζεσθαι ἀλλήλων, οὐδὲ σμικρὸν χρόνον. καὶ οἱ διατελοῦντες μετ᾽ ἀλλήλων διὰ βίου, οὗτοί εἰσιν οἳ οὐδ᾽ ἂν ἔχοιεν εἰπεῖν ὅ, τι βούλονται σφίσι παρ᾽ ἀλλήλων γίγνεσθαι. οὐδὲ γὰρ ἂν δόξειε τοῦτ᾽ εἶναι ἡ τῶν ἀφροδισίων συνουσία, ὡς ἄρα τούτου ἕνεκα ἕτερος ἑτέρῳ χαίρει ξυνὼν οὕτως ἐπὶ μεγάλης σπουδῆς· ἀλλ᾽ ἄλλό τι βουλομένη ἑκατέρου ἡ ψυχὴ δήλη ἐστὶν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βούλεται, καὶ αἰνίττεται. καὶ εἰ αὐτοῖς ἐν τῷ αὐτῷ κατακειμένοις ἐπιστὰς ὁ Ἥφαιστος, ἔχων τὰ ὄργανα, ἔροιτο, Τί ἔσθ᾽ ὃ βούλεσθε, ὦ ἄνθρωποι, ὑμῖν παρ᾽ ἀλλήλων γενέσθαι; καὶ εἰ ἀποροῦντας αὐτοὺς πάλιν ἔροιτο, Ἆράγε τοῦδε ἐπιθυμεῖτε ἐν τῷ αὐτῷ γενέσθαι μάλιστα ἀλλήλοις, ὥστε καὶ νύκτα καὶ ἡμέραν μὴ ἀπολείπεσθαι ἀλλήλων; εἰ γὰρ τούτου ἐπιθυμεῖτε, ἐθέλω ὑμᾶς συντῆ-

ξαι καὶ συμφῦσαι εἰς τὸ αὐτὸ, ὥστε δύο ὄντας ἕνα γεγονέναι· καὶ ἕως τ᾽ ἂν ζῆτε, ὡς ἕνα ὄντας κοινῇ ἀμφοτέρους ζῆν, καὶ ἐπειδὰν ἀποθάνητε, ἐκεῖ αὖ ἐν ᾅδου ἀντὶ δυοῖν ἕνα εἶναι κοινῇ τεθνεῶτε. ἀλλ᾽ ὁρᾶτε εἰ τούτου ἐρᾶτε, καὶ ἐξαρκεῖ ὑμῖν ἂν τούτου τύχητε. ταῦτα ἀκούσας ἴσμεν ὅτι οὐδ᾽ ἂν εἷς ἐξαρνηθείη, οὐδ᾽ ἄλλό τι ἂν φανείη βουλόμενος, ἀλλ᾽ ἀτεχνῶς οἴοιτ᾽ ἂν ἀκηκοέναι τοῦτο ὃ πάλαι ἄρα ἐπεθύμει, συνελθὼν καὶ συντακεὶς τῷ ἐρωμένῳ, ἐκ δυοῖν εἷς γενέσθαι. τοῦτο γάρ ἐστι τὸ αἴτιον, ὅτι ἡ ἀρχαία φύσις ἡμῶν ἦν αὕτη, καὶ ἦμεν ὅλοι. τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει ἔρως ὄνομα. καὶ προτοῦ, ὥσπερ λέγω, ἓν ἦμεν· νυνὶ δὲ διὰ τὴν ἀδικίαν διῳκίσθημεν ὑπὸ τοῦ θεοῦ, καθάπερ Ἀρκάδες ὑπὸ Λακεδαιμονίων. φόβος οὖν ἔνεστιν, ἐὰν μὴ κόσμιοι ὦμεν πρὸς τοὺς θεοὺς, ὅπως μὴ καὶ αὖθις διασχισθησόμεθα, καὶ περίϊμεν ἔχοντες, ὥσπερ οἱ ἐν ταῖς στήλαις, καταγραφὴν ἐκτετυπωμένοι, διαπεπρισμένοι κατὰ τὰς ῥῖνας γεγονότες, ὥσπερ λίσπαι. ἀλλὰ τούτων ἕνεκα, πάντ᾽ ἄνδρα χρὴ ἅπαντα παρακελεύεσθαι εὐσεβεῖν περὶ θεοὺς· ἵνα τὰ μὲν ἐκφύγωμεν, τῶν δὲ τύχωμεν, ὡς ὁ Ἔρως ἡμῖν ἡγεμὼν καὶ στρατηγός. ᾧ μηδεὶς ἐναντία πραττέτω· πράττει δ᾽ ἐναντία, ὅστις θεοῖς ἀπεχθάνεται. φίλοι γὰρ γενόμενοι, καὶ διαλλαχθέντες τῷ θεῷ, ἐξευρήσομέν τε καὶ ἐντευξόμεθα τοῖς παιδικοῖς τοῖς ἡμετέροις αὐτῶν· ὃ τῶν νῦν ὀλίγοι ποιοῦσι. καὶ μή μου ὑπολάβῃ Ἐρυξίμαχος κωμῳδῶν τὸν λόγον, ὡς Παυσανίαν καὶ Ἀγάθωνα λέγω. ἴσως μὲν γὰρ καὶ οὗτοι τούτων τυγ-

χάνουσιν ὄντες, καί εἰσιν ἀμφότεροι τὴν φύσιν ἄῤῥενες. λέγω δὲ οὖν ἔγωγε καθ' ἁπάντων καὶ ἀνδρῶν καὶ γυναικῶν, ὅτι οὕτως ἂν ἡμῶν τὸ γένος εὔδαιμον γένοιτο, εἰ ἐκτελέσαιμεν τὸν ἔρωτα, καὶ τῶν παιδικῶν τῶν αὑτοῦ ἕκαστος τύχοι, εἰς τὴν ἀρχαίαν ἀπελθὼν φύσιν. εἰ δὲ τοῦτο ἄριστον, ἀναγκαῖον καὶ τῶν νῦν παρόντων τὸ τούτου ἐγγυτάτω ἄριστον εἶναι. τοῦτο δ' ἐστὶ παιδικῶν τυχεῖν, κατὰ νοῦν αὑτῷ πεφυκότων. οὗ δὴ τὸν αἴτιον θεὸν ὑμνοῦντες, δικαίως ἂν ὑμνοῖμεν Ἔρωτα· ὃς ἔν τε τῷ παρόντι ἡμᾶς πλεῖστα ὀνίνησιν εἰς τὸ οἰκεῖον ἄγων, καὶ εἰς τὸ ἔπειτα ἐλπίδας μεγίστας παρέχεται, ἡμῶν παρεχομένων πρὸς θεοὺς εὐσέβειαν, καταστήσας ἡμᾶς εἰς τὴν ἀρχαίαν φύσιν, καὶ ἰασάμενος, μακαρίους καὶ εὐδαίμονας ποιῆσαι. Οὗτος, ἔφη, ὦ Ἐρυξίμαχε, ὁ ἐμὸς λόγος ἐστὶ περὶ Ἔρωτος, ἀλλοῖος ἢ ὁ σός. ὥσπερ οὖν ἐδεήθην σου, μὴ κωμῳδήσῃς αὐτόν· ἵνα καὶ τῶν λοιπῶν ἀκούσωμεν τί ἕκαστος ἐρεῖ, μᾶλλον δὲ τί ἑκάτερος. Ἀγάθων γὰρ καὶ Σωκράτης λοιποί. Ἀλλὰ πείσομαί σοι, ἔφη φάναι τὸν Ἐρυξίμαχον· καὶ γάρ μοι ὁ λόγος ἡδέως ἐῤῥέθη. καὶ εἰ μὴ ξυνῄδειν Σωκράτει τε καὶ Ἀγάθωνι δεινοῖς οὖσι περὶ τὰ ἐρωτικὰ, πάνυ ἂν ἐφοβούμην μὴ ἀπορήσωσι λόγων, διὰ τὸ πολλὰ καὶ παντοδαπὰ εἰρῆσθαι· νῦν δὲ ὅμως θαῤῥῶ. Τὸν οὖν Σωκράτη εἰπεῖν, Καλῶς γὰρ αὐτὸς ἠγώνισαι, ὦ Ἐρυξίμαχε. εἰ δὲ γένοιο οὗ νῦν ἐγώ εἰμι, μᾶλλον δὲ ἴσως οὗ ἔσομαι, ἐπειδὰν καὶ Ἀγάθων εἴπῃ, εὖ καὶ μάλ' ἂν φοβοῖο, καὶ ἐν παντὶ εἴης, ὥσπερ ἐγὼ νῦν. Φαρμάττειν βούλει με, ὦ

Σώκρατες, εἰπεῖν τὸν Ἀγάθωνα, ἵνα θορυβηθῶ, διὰ τὸ οἴεσθαι τὸ θέατρον προσδοκίαν μεγάλην ἔχειν ὡς εὖ ἐροῦντος ἐμοῦ. Ἐπιλήσμων μέντ' ἂν εἴην, ὦ Ἀγάθων, εἰπεῖν τὸν Σωκράτη, εἰ ἰδὼν τὴν σὴν ἀνδρίαν καὶ μεγαλοφροσύνην ἀναβαίνοντος ἐπὶ τὸν ὀκρίβαντα μετὰ τῶν ὑποκριτῶν, καὶ βλέψαντος ἐναντίον τοσούτου θεάτρου, μέλλοντος ἐπιδείξασθαι σαυτοῦ λόγους, καὶ οὐδ' ὁπωστιοῦν ἐκπλαγέντος, νῦν οἰηθείην σὲ θορυβηθήσεσθαι ἕνεκα ἡμῶν ὀλίγων ἀνθρώπων. Τί δαί; ὦ Σώκρατες, τὸν Ἀγάθωνα φάναι, οὐ δήπου με οὕτω θεάτρου μεστὸν ἡγῇ, ὥστε καὶ ἀγνοεῖν ὅτι νοῦν ἔχοντι ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων φοβερώτεροι. Οὐ μέντ' ἂν καλῶς ποιοίην, φάναι τὸν Σωκράτη, ὦ Ἀγάθων, περὶ σοῦ τι ἐγὼ ἀγροῖκον δοξάζων. ἀλλ' εὖ οἶδα, ὅτι εἴ τισιν ἐντύχοις οὓς ἡγοῖο σοφούς, μᾶλλον ἂν αὐτῶν φροντίζοις ἢ τῶν πολλῶν. ἀλλὰ μὴ οὐχ οὗτοι ἡμεῖς ὦμεν. ἡμεῖς μὲν γὰρ καὶ ἐκεῖ παρῆμεν, καὶ ἦμεν τῶν πολλῶν. εἰ δὲ ἄλλοις ἐντύχοις σοφοῖς, τάχ' ἂν αἰσχύνοιο αὐτούς, εἴτι ἴσως οἴοιο αἰσχρὸν ὂν ποιεῖν. ἢ πῶς λέγεις; Ἀληθῆ λέγεις, φάναι. Τοὺς δὲ πολλοὺς οὐκ ἂν αἰσχύνοιο εἴτι οἴοιο αἰσχρὸν ποιεῖν; Καὶ τὸν Φαῖδρον ἔφη ὑπολαβόντα εἰπεῖν, Ὦ φίλε Ἀγάθων, ἐὰν ἀποκρίνῃ Σωκράτει, οὐδὲν ἔτι διοίσει αὐτῷ ὁπηοῦν τῶν ἐνθάδε ὁτιοῦν γίγνεσθαι· ἐὰν μόνον ἔχῃ ὅτῳ διαλέγηται, ἄλλως τε καὶ καλῷ. ἐγὼ δὲ ἡδέως μὲν ἀκούω Σωκράτους διαλεγομένου· ἀναγκαῖον δέ μοι ἐπιμεληθῆναι τοῦ ἐγκωμίου τῷ Ἔρωτι, καὶ ἀποδέξα-

σθαι παρ' ἑνὸς ἑκάστου ὑμῶν τὸν λόγον. ἀποδοὺς οὖν ἑκάτερος τῷ θεῷ, οὕτως ἤδη διαλεγέσθω. Ἀλλὰ καλῶς λέγεις, ὦ Φαῖδρε, φάναι τὸν Ἀγάθωνα, καὶ οὐδέν με κωλύει λέγειν. Σωκράτει γὰρ καὶ αὖθις ἔσται πολλάκις διαλέγεσθαι. Ἐγὼ δὲ δὴ βούλομαι πρῶτον μὲν εἰπεῖν, ἡ χρή με εἰπεῖν, ἔπειτα εἰπεῖν. δοκοῦσι γάρ μοι πάντες οἱ πρόσθεν εἰρηκότες, οὐ τὸν θεὸν ἐγκωμιάζειν, ἀλλὰ τοὺς ἀνθρώπους εὐδαιμονίζειν τῶν ἀγαθῶν, ὧν ὁ θεὸς αὐτοῖς αἴτιος. ὁποῖος δέ τις αὐτὸς ὢν, ταῦτα ἐδωρήσατο, οὐδεὶς εἴρηκεν. εἷς δὲ τρόπος ὀρθὸς παντὸς ἐπαίνου περὶ παντὸς, λόγῳ διελθεῖν οἷος οἵων αἴτιος ὢν τυγχάνει περὶ οὗ ἂν ὁ λόγος ᾖ. οὕτω δὴ τὸν Ἔρωτα καὶ ἡμᾶς δίκαιον ἐπαινέσαι πρῶτον αὐτὸν οἷός ἐστιν, ἔπειτα τὰς δόσεις. φημὶ οὖν ἐγὼ, πάντων θεῶν εὐδαιμόνων ὄντων, Ἔρωτα (εἰ θέμις καὶ ἀνεμέσητον εἰπεῖν) εὐδαιμονέστατον εἶναι αὐτῶν, κάλλιστον ὄντα καὶ ἄριστον. ἔστι δὲ, κάλλιστος ὢν, τοιόσδε· πρῶτον μὲν νεώτατος θεῶν, ὦ Φαῖδρε. μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆρας, ταχὺ ὂν δηλονότι. θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται· ὃ δὴ πέφυκεν Ἔρως μισεῖν, καὶ οὐδ' ἐντὸς πολλοῦ πλησιάζειν. μετὰ δὲ νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν. ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει. ἐγὼ δὲ, Φαίδρῳ πολλὰ ἄλλα ὁμολογῶν, τοῦτο οὐχ ὁμολογῶ, ὡς Ἔρως Κρόνου καὶ Ἰαπετοῦ ἀρχαιότερός ἐστιν. ἀλλά φημι νεώτατον αὐτὸν εἶναι θεῶν, καὶ ἀεὶ νέον. τὰ δὲ παλαιὰ πράγματα περὶ θεοὺς, ἃ Ἡσίοδος καὶ Παρμε-

τιμήσω, ὥσπερ Ἐρυξίμαχος τὴν ἑαυτοῦ, ποιητὴς ὁ θεὸς σοφὸς, οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τοπρὶν, οὗ ἂν Ἔρως ἅψηται. ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ χρῆσθαι, ὅτι ποιητὴς ὁ Ἔρως ἀγαθὸς, ἐν κεφαλαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν. ἃ γάρ τις ἢ μὴ ἔχει, ἢ μὴ οἶδεν, οὔτ᾽ ἂν ἑτέρῳ δοίη, οὔτ᾽ ἂν ἄλλον διδάξειε. καὶ μὲν δὴ τήν γε τῶν ζώων ποίησιν πάντων τίς ἐναντιώσεται μὴ οὐχὶ Ἔρωτος εἶναι σοφίαν, ᾗ γίγνεταί τε καὶ φύεται πάντα τὰ ζῶα; ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη; οὗ δ᾽ ἂν Ἔρως μὴ ἐφάψηται, σκοτεινός; τοξικήν γε μὴν καὶ ἰατρικὴν καὶ μαντικὴν Ἀπόλλων ἀνεῦρεν, ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος. ὥστε καὶ οὗτος Ἔρωτος ἂν εἴη μαθητής· καὶ Μοῦσαι μουσικῆς, καὶ Ἥφαιστος χαλκείας, καὶ Ἀθηνᾶ ἱστουργίας, καὶ Ζεὺς κυβερνήσεως θεῶν τε καὶ ἀνθρώπων. ὅθεν δὴ καὶ κατεσκευάσθη τῶν θεῶν τὰ πράγματα, Ἔρωτος ἐγγενομένου δηλονότι κάλλους. αἴσχει γὰρ οὐκ ἔπεστιν Ἔρως· προτοῦ δὲ, ὥσπερ ἐν ἀρχῇ εἶπον, πολλὰ καὶ δεινὰ θεοῖς ἐγίγνετο, ὡς λέγεται, διὰ τὴν τῆς Ἀνάγκης βασιλείαν· ἐπειδὴ δ᾽ ὁ θεὸς οὗτος ἔφυ ἐκ τοῦ ἐρᾷν τῶν καλῶν, πάντ᾽ ἀγαθὰ γέγονε καὶ θεοῖς καὶ ἀνθρώποις. οὕτως ἐμοὶ δοκεῖ, ὦ Φαῖδρε, Ἔρως, πρῶτος αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος, μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι. ἐπέρχεται δέ μοι τὶ καὶ ἔμμετρον εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν Εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλή-

νην, Νηνεμίαν ἀνέμων, κοίτην, ὕπνόν τ' ἐνὶ κήδει. οὗτος δὲ ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ· τὰς τοιάσδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς συνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν θυσίαις, γιγνόμενος ἡγεμών· πραότητα μὲν πορίζων, ἀγριότητα δ' ἐξορίζων· φιλόδωρος εὐμενείας, ἄδωρος δυσμενείας· ἵλεως, ἀγαθὸς, θεατὸς σοφοῖς, ἀγαστὸς θεοῖς· ζηλωτὸς ἀμοίροις, κτητὸς εὐμοίροις· τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς κακῶν· ἐν πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ κυβερνήτης, ἐπιβάτης, παραστάτης τε καὶ σωτὴρ ἄριστος· ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος· ἡγεμὼν κάλλιστος καὶ ἄριστος· ᾧ δεῖ ἕπεσθαι πάντα ἄνδρα ἐφυμνοῦντα καλῶς, καλῆς ᾠδῆς μετέχοντα· ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα. Οὗτος, ἔφη, ὁ παρ' ἐμοῦ λόγος, ὦ Φαῖδρε, τῷ θεῷ ἀνακείσθω· τὰ μὲν, παιδιᾶς, τὰ δὲ, σπουδῆς μετρίας, καθ' ὅσον ἐγὼ δύναμαι,
0. μετέχων. Εἰπόντος δὲ τοῦ Ἀγάθωνος πάντας ἔφη ὁ Ἀριστόδημος ἀναθορυβῆσαι τοὺς παρόντας, ὡς πρεπόντως τοῦ νεανίσκου εἰρηκότος καὶ αὑτῷ καὶ τῷ θεῷ. Τὸν οὖν Σωκράτη εἰπεῖν, βλέψαντα εἰς τὸν Ἐρυξίμαχον, Ἆρά σοι δοκῶ, φάναι, ὦ παῖ Ἀκουμενοῦ, ἀδεὲς πάλαι δέος δεδιέναι; ἀλλ' οὐ μαντικῶς, ἃ νῦν δὴ ἔλεγον, εἰπεῖν, ὅτι Ἀγάθων θαυμαστῶς ἐρεῖ, ἐγὼ δ' ἀπορήσαιμι; Τὸ μὲν ἕτερον, φάναι τὸν Ἐρυξίμαχον, μαντικῶς δοκεῖς μοι εἰρηκέναι, ὅτι Ἀγάθων εὖ ἐρεῖ· τὸ δὲ σὲ ἀπορήσειν, οὐκ οἶμαι. Καὶ πῶς, ὦ μακάριε, εἰπεῖν τὸν Σωκράτην, οὐ μέλλω

νων ἔφησθα ἐν τῷ λόγῳ εἶναι τὸν Ἔρωτα. εἰ δὲ βούλει, ἐγώ σε ἀναμνήσω. οἶμαι γάρ σε οὑτωσί πως εἰπεῖν, ὅτι τοῖς θεοῖς κατεσκευάσθη τὰ πράγματα δι' ἔρωτα καλῶν· αἰσχρῶν γὰρ οὐκ εἴη ἔρως. οὐχ οὑτωσί πως ἔλεγες; Εἶπον γάρ, φάναι τὸν Ἀγάθωνα Καὶ ἐπιεικῶς γε λέγεις, ὦ ἑταῖρε, φάναι τὸν Σωκράτη. καί, εἰ τοῦτο οὕτως ἔχει, ἄλλοτι ὁ ἔρως, κάλλους ἂν εἴη ἔρως, αἴσχους δ' οὔ. Ὡμολόγει. Οὐκοῦν ὡμολόγηται, οὗ ἐνδεής ἐστι, καὶ μὴ ἔχει, τούτου ἐρᾷν Ναὶ, εἰπεῖν. Ἐνδεὴς ἄρ' ἔστι καὶ οὐκ ἔχει ὁ Ἔρως κάλλος. Ἀνάγκη, φάναι. Τί δέ; τὸ ἐνδεὲς κάλλους, καὶ μηδαμῇ κεκτημένον κάλλος, ἆρα λέγεις σὺ καλὸν εἶναι; Οὐ δῆτα. Ἔτι οὖν ὁμολογεῖς Ἔρωτα καλὸν εἶναι, εἰ ταῦτα οὕτως ἔχει; Καὶ τὸν Ἀγάθωνα εἰπεῖν, Κινδυνεύω, ὦ Σώκρατες, οὐδὲν εἰδέναι ὧν τότε εἶπον. Καὶ μὴν καλῶς γε εἶπες, φάναι, ὦ Ἀγάθων. ἀλλὰ σμικρὸν ἔτι εἰπὲ, Τἀγαθὰ οὐ καὶ καλά δοκεῖ σοι εἶναι; Ἔμοιγε. Εἰ ἄρα ὁ Ἔρως τῶν καλῶν ἐνδεής ἐστι, τὰ δὲ ἀγαθά, καλά, κἂν τῶν ἀγαθῶν ἐνδεὴς εἴη. Ἐγὼ, φάναι, ὦ Σώκρατες, σοὶ οὐκ ἂν δυναίμην ἀντιλέγειν· ἀλλ' οὕτως ἐχέτω, ὡς σὺ λέγεις. Οὔμενουν τῇ ἀληθείᾳ, φάναι, ὦ φιλούμενε Ἀγάθων, δύνασαι ἀντιλέγειν· ἐπεὶ Σωκράτει γε οὐδὲν χαλεπόν. Καὶ σὲ μέν γε ἤδη ἐάσω· τὸν δὲ λόγον τὸν περὶ τοῦ Ἔρωτος, ὅν ποτ' ἤκουσα γυναικὸς μαντικῆς Διοτίμας, ἣ ταῦτά τε σοφὴ ἦν καὶ ἄλλα πολλά, καὶ Ἀθηναίοις ποτὲ θυσαμένοις πρὸ τοῦ λοιμοῦ δέκα ἔτη ἀναβολὴν ἐποίησε τῆς νόσου, ἣ δὴ καὶ ἐμὲ τὰ ἐρωτικὰ ἐδίδαξεν· ὃν οὖν ἐκείνη ἔλεγε λόγον πει-

ράσομαι ὑμῖν διελθεῖν, ἐκ τῶν ὡμολογημένων ἐμοὶ καὶ Ἀγάθωνι, αὐτὸς ἐπ᾽ ἐμαυτοῦ, ὅπως ἂν δύνωμαι. δεῖ δή, ὦ Ἀγάθων, ὥσπερ σὺ διηγήσω, διελθεῖν αὐτὸν πρῶτον, τίς ἐστιν ὁ Ἔρως, καὶ ποῖός τις, ἔπειτα τὰ ἔργα αὐτοῦ. δοκεῖ οὖν μοι ῥᾷστον εἶναι οὕτω διελθεῖν, ὥς ποτέ με ἡ ξένη ἀνακρίνουσα διῄει. σχεδὸν γάρ τι καὶ ἐγὼ πρὸς αὐτὴν ἕτερα τοιαῦτα ἔλεγον, οἷάπερ νῦν πρὸς ἐμὲ Ἀγάθων· ὡς εἴη ὁ Ἔρως, μέγας θεός· εἴη δὲ τῶν καλῶν. ἤλεγχε δέ με τούτοις τοῖς λόγοις οἷσπερ ἐγὼ τοῦτον· ὡς οὔτε καλὸς εἴη, κατὰ τὸν ἐμὸν λόγον, οὔτε ἀγαθός. καὶ ἐγώ, Πῶς λέγεις, ἔφην, ὦ Διοτίμα; αἰσχρὸς ἄρα ὁ Ἔρως ἐστὶ καὶ κακός; Καὶ ἥ, Οὐκ εὐφημήσεις; ἔφη. ἢ οἴει, ὅ, τι ἂν μὴ καλὸν ᾖ, ἀναγκαῖον αὐτὸ αἰσχρὸν εἶναι; Μάλιστά γε. Ἦ καὶ ἂν μὴ σοφόν, ἀμαθές; ἢ οὐκ ᾔσθησαι ὅτι ἐστί τι μεταξὺ σοφίας καὶ ἀμαθίας; Τί τοῦτο; Τὸ ὀρθὰ δοξάζειν, καὶ ἄνευ τοῦ ἔχειν λόγον δοῦναι, οὐκ οἶσθ᾽, ἔφη, ὅτι οὔτε ἐπίστασθαι ἔστιν· ἄλογον γὰρ πρᾶγμα πῶς ἂν εἴη ἐπιστήμη; οὔτε ἀμαθία; τὸ γὰρ τοῦ ὄντος τυγχάνον πῶς ἂν εἴη ἀμαθία; ἔστι δὲ δήπου τοιοῦτον ἡ ὀρθὴ δόξα μεταξὺ φρονήσεως καὶ ἀμαθίας. Ἀληθῆ, ἦν δ᾽ ἐγώ, λέγεις. μὴ τοίνυν ἀνάγκαζε, ὃ μὴ καλόν ἐστιν, αἰσχρὸν εἶναι· μηδέ, ὃ μὴ ἀγαθόν, κακόν. οὕτω δὲ καὶ τὸν Ἔρωτα ἐπειδὴ αὐτὸς ὁμολογεῖς μὴ εἶναι ἀγαθόν, μηδὲ καλόν, μηδέν τι μᾶλλον οἴου δεῖν αὐτὸν αἰσχρὸν καὶ κακὸν εἶναι, ἀλλά τι μεταξύ, ἔφη, τούτοιν. Καὶ μήν, ἦν δ᾽ ἐγώ, ὁμολογεῖταί γε παρὰ πάντων μέγας θεὸς εἶναι. Τῶν μὴ εἰ-

δότωι, ἔφη, πάντων λέγεις, ἢ καὶ τῶν εἰδότων; Ξυμπάντων μὲν οὖν. Καὶ ἣ, γελάσασα, Καὶ πῶς ἂν, ἔφη, ὦ Σώκρατες, ὁμολογοῖτο μέγας θεὸς εἶναι παρὰ τούτων, οἵ φασιν αὐτὸν οὐδὲ θεὸν εἶναι; Τίνες οὗτοι; ἦν δ' ἐγώ. Εἷς μὲν, ἔφη, σὺ, μία δ' ἐγώ. Καὶ ἐγὼ εἶπον, Πῶς τοῦτο, ἔφην, λέγεις; Καὶ ἥ, Ῥᾳδίως, ἔφη· λέγε γάρ μοι, οὐ πάντας θεοὺς φῂς εὐδαίμονας εἶναι καὶ καλούς; ἢ τολμήσαις ἄν τινα μὴ φάναι καλόν τε καὶ εὐδαίμονα θεὸν εἶναι; Μὰ Δί' οὐκ ἔγωγ', ἔφην. Εὐδαίμονας δὲ δὴ λέγεις; οὐ τοὺς τἀγαθὰ καὶ καλὰ κεκτημένους; Πάνυ γε. Ἀλλὰ μὴν Ἔρωτά γε ὡμολόγηκας, δι' ἔνδειαν τῶν ἀγαθῶν καὶ καλῶν, ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεής ἐστιν. Ὡμολόγηκα γάρ. Πῶς δ' ἂν οὖν θεὸς εἴη ὅγε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος; Οὐδαμῶς, ὥς γ' ἔοικεν. Ὁρᾷς οὖν, ἔφη, ὅτι καὶ σὺ Ἔρωτα οὐ θεὸν νομίζεις; Τί οὖν ἂν, ἔφην, εἴη ὁ Ἔρως θνητός; Ἥκιστά γε. Ἀλλὰ τί μήν; Ὥσπερ τὰ πρότερα, ἔφη, μεταξὺ θνητοῦ καὶ ἀθανάτου. Τί οὖν, ὦ Διοτίμα; Δαίμων μέγας, ὦ Σώκρατες. καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ. Τίνα, ἦν δ' ἐγὼ, δύναμιν ἔχον; Ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων, καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν. ἐν μέσῳ δὲ ὂν ἀμφοτέρων συμπληροῖ, ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ ξυνδεδέσθαι. διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ, καὶ ἡ τῶν ἱερέων τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰς ἐπῳδὰς, καὶ τὴν μαντείαν πᾶσαν καὶ

γοητείαν. θεὸς δὲ ἀνθρώπῳ οὐ μίγνυται, ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους, καὶ ἐγρηγορόσι καὶ καθεύδουσι. καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σοφὸς, δαιμόνιος ἀνήρ· ὁ δὲ ἄλλο τι σοφὸς ὢν ἢ περὶ τὰς τέχνας ἢ χειρουργίας τινὰς, βάναυσος. οὗτοι δὴ οἱ δαίμονες πολλοὶ καὶ παντοδαποί εἰσιν· εἷς δὲ τούτων ἐστὶ καὶ ὁ Ἔρως. Πατρὸς δὲ, ἦν δ' ἐγὼ, τίνος ἐστὶ, καὶ μητρός; Μακρότερον μὲν, ἔφη, διηγήσασθαι· ὅμως δέ σοι ἐρῶ. ὅτε γὰρ ἐγένετο ἡ Ἀφροδίτη, εἱστιῶντο οἱ θεοὶ, οἵ τε ἄλλοι καὶ ὁ τῆς Μήτιδος υἱὸς Πόρος· ἐπειδὴ δὲ ἐδείπνησαν, προσαιτήσουσα, οἷον δὴ εὐωχίας οὔσης, ἀφίκετο ἡ Πενία. καὶ ἦν περὶ τὰς θύρας. ὁ οὖν Πόρος μεθυσθεὶς τοῦ νέκταρος, (οἶνος γὰρ οὔπω ἦν) εἰς τὸν τοῦ Διὸς κῆπον εἰσελθὼν, βεβαρημένος εὗδεν. ἡ οὖν Πενία ἐπιβουλεύουσα, διὰ τὴν αὑτῆς ἀπορίαν, παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου, κατακλίνεταί τε παρ' αὐτῷ καὶ ἐκύησε τὸν Ἔρωτα. διὸ δὴ καὶ τῆς Ἀφροδίτης ἀκόλουθος καὶ θεράπων γέγονεν ὁ Ἔρως, γεννηθεὶς ἐν τοῖς ἐκείνης γενεθλίοις· καὶ ἅμα φύσει ἐραστὴς ὢν περὶ τὸ καλὸν, καὶ τῆς Ἀφροδίτης καλῆς οὔσης. ἅτε οὖν Πόρου καὶ Πενίας υἱὸς ὢν ὁ Ἔρως, ἐν τοιαύτῃ τύχῃ καθέστηκε. πρῶτον μὲν, πένης ἀεί ἐστι, καὶ πολλοῦ δεῖ ἁπαλός τε καὶ καλὸς, οἷον οἱ πολλοὶ οἴονται, ἀλλὰ σκληρὸς, καὶ αὐχμηρὸς, καὶ ἀνυπόδητος, καὶ ἄοικος· χαμαιπετὴς ἀεὶ ὢν, καὶ ἄστρωτος, ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαιθρίοις κοιμώμενος· τὴν τῆς μητρὸς φύσιν ἔχων· ἀεὶ ἐνδείᾳ ξύνοικος. κατὰ δὲ αὖ τὸν πα-

τέρα, ἐπίβουλός ἐστι τοῖς ἀγαθοῖς καὶ τοῖς καλοῖς, ἀνδρεῖος ὢν, καὶ ἴτης, καὶ σύντονος· θηρευτὴς δεινὸς, ἀεί τινας πλέκων μηχανὰς, καὶ φρονήσεως ἐπιθυμητὴς, καὶ πόριμος· φιλοσοφῶν διὰ παντὸς τοῦ βίου· δεινὸς γόης, καὶ φαρμακεὺς, καὶ σοφιστής· καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν, οὔτε ὡς θνητός· ἀλλὰ τοτὲ μὲν τῆς αὐτῆς ἡμέρας θάλλει τε καὶ ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δὲ ἀποθνήσκει· πάλιν δὲ ἀναβιώσκεται, διὰ τὴν τοῦ πατρὸς φύσιν. τὸ δὲ ποριζόμενον ἀεὶ ὑπεκρεῖ. ὥστε οὔτε ἀπορεῖ Ἔρως ποτὲ, οὔτε πλουτεῖ. σοφίας τε αὖ καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν. ἔχει γὰρ ὧδε· θεῶν οὐδεὶς φιλοσοφεῖ, οὐδ' ἐπιθυμεῖ σοφὸς γενέσθαι. ἔστι γάρ. οὐδ' εἴ τις ἄλλος σοφὸς, οὐ φιλοσοφεῖ. οὐδ' αὖ οἱ ἀμαθεῖς φιλοσοφοῦσιν, οὐδ' ἐπιθυμοῦσι σοφοὶ γενέσθαι. αὐτὸ γὰρ τοῦτό ἐστι χαλεπὸν ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνιμον, δοκεῖν αὐτῷ εἶναι ἱκανόν. οὔκουν ἐπιθυμεῖ ὁ μὴ οἰόμενος ἐνδεὴς εἶναι οὗ ἂν μὴ οἴηται ἐπιδεῖσθαι. Τίνες οὖν, ἔφην ἐγὼ, ὦ Διοτίμα, οἱ φιλοσοφοῦντες; εἰ μήτε οἱ σοφοὶ, μήτε οἱ ἀμαθεῖς; Δῆλον δὴ, ἔφη, τοῦτό γε ἤδη καὶ παιδὶ, ὅτι οἱ μεταξὺ τούτων ἀμφοτέρων ὧν ἂν καὶ ὁ ἔρως. ἔστι γὰρ δὴ τῶν καλλίστων ἡ σοφία· Ἔρως δ' ἐστὶν ἔρως περὶ τὸ καλόν. ὥστε ἀναγκαῖον Ἔρωτα φιλόσοφον εἶναι· φιλόσοφον δὲ ὄντα, μεταξὺ εἶναι σοφοῦ καὶ ἀμαθοῦς. αἰτία δ' αὐτῷ καὶ τούτων ἡ γένεσις. πατρὸς μὲν γὰρ σοφοῦ ἐστι καὶ εὐπόρου, μητρὸς δὲ οὐ σοφῆς καὶ ἀπόρου. ἡ μὲν οὖν φύσις τοῦ δαίμονος, ὦ φίλε Σώκρατες, αὕτη. ὃν δὲ σὺ ᾠήθης Ἔρωτα εἶναι, θαυ-

μαστὸν οὐδὲν ἔπαθες. ᾠήθης δὲ, ὡς ἐμοὶ δοκεῖ, τεκμαιρομένη ἐξ ὧν λέγεις σὺ, τὸ ἐρώμενον, Ἔρωτα εἶναι, οὐ τὸ ἐρῶν. διὰ ταῦτα σοὶ, οἶμαι, πάγκαλος ἐφαίνετο ὁ Ἔρως. καὶ γάρ ἐστι τὸ ἐραστὸν, τὸ τῷ ὄντι καλὸν καὶ ἁβρὸν καὶ τέλεον καὶ μακαριστόν· τὸ δέ γε ἐρῶν, ἄλλην ἰδέαν τοιαύτην ἔχον, οἵαν ἐγὼ διῆλθον. Καὶ ἐγὼ εἶπον, Εἶεν δὴ, ὦ ξένη. καλῶς γὰρ λέγεις. τοιοῦτος ὢν ὁ Ἔρως τίνα χρείαν ἔχει τοῖς ἀνθρώποις; Τοῦτο δὴ μετὰ ταῦτ᾽, ἔφη, ὦ Σώκρατες, πειράσομαι σὲ διδάξαι. ἔστι μὲν γὰρ δὴ τοιοῦτος καὶ οὕτω γεγονὼς ὁ Ἔρως, ἔστι δὲ τῶν καλῶν, ὡς σὺ φῄς. εἰ δέ τις ἡμᾶς ἔροιτο, Τί τῶν καλῶν ἐστιν ὁ Ἔρως, ὦ Σώκρατές τε καὶ Διοτίμα; ὧδε δὲ σαφέστερον ἐρῶ, Ὁ ἐρῶν τῶν καλῶν, τί ἐρᾷ; Καὶ ἐγὼ εἶπον ὅτι γενέσθαι αὑτῷ. Ἀλλ᾽ ἔτι ποθεῖ, ἔφη, ἡ ἀπόκρισις ἐρώτησιν τοιάνδε, Τί ἔσται ἐκείνῳ, ᾧ ἂν γένηται τὰ καλά; Οὐ πάνυ ἔφην ἔτι ἔχειν ἐγὼ πρὸς ταύτην τὴν ἐρώτησιν προχείρως ἀποκρίνεσθαι. Ἀλλ᾽, ἔφη, ὥσπερ ἂν εἴ τις μεταβαλὼν, ἀντὶ τοῦ καλοῦ τῷ ἀγαθῷ χρώμενος, πυνθάνοιτο, Φέρε, ὦ Σώκρατες, ἐρῶ, ὁ ἐρῶν τῶν ἀγαθῶν, τί ἐρᾷ; Γενέσθαι, ἦν δ᾽ ἐγὼ, αὑτῷ. Καὶ τί ἔσται ἐκείνῳ ᾧ ἂν γένηται τἀγαθά; Τοῦτ᾽ εὐπορώτερον, ἦν δ᾽ ἐγὼ, ἔχω ἀποκρίνασθαι, ὅτι εὐδαίμων ἔσται. Κτήσει γὰρ, ἔφη, ἀγαθῶν, οἱ εὐδαίμονες, εὐδαίμονες. καὶ οὐκέτι προσδεῖ ἔρεσθαι, ἵνατί δὲ βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος, ἀλλὰ τέλος δοκεῖ ἔχειν ἡ ἀπόκρισις. Ἀληθῆ λέγεις, εἶπον ἐγώ. Ταύτην δὴ τὴν βούλησιν καὶ τὸν ἔρωτα τοῦτον πότερα κοινὸν οἴει εἶναι πάντων ἀνθρώπων, καὶ πάντας τἀ-

γαθὰ βούλεσθαι αὑτοῖς εἶναι ἀεί; ἢ πῶς λέγεις; Οὕτως, ἦν δ' ἐγώ· κοινὸν εἶναι πάντων. Τί δὴ οὖν, ἔφη, ὦ Σώκρατες, οὐ πάντας ἐρᾷν φαμεν, εἴπέρ γε πάντες τῶν αὐτῶν ἐρῶσι, καὶ ἀεί; ἀλλὰ τινὰς φαμὲν ἐρᾷν, τοὺς δ' οὔ; Θαυμάζω, ἦν δ' ἐγὼ, καὶ αὐτός. Ἀλλὰ μὴ θαύμαζ', ἔφη· ἀφελόντες γάρ ἄρα τοῦ ἔρωτος τὶ εἶδος, ὀνομάζομεν, τὸ τοῦ ὅλου ἐπιτιθέντες ὄνομα, ἔρωτα· τὰ δὲ ἄλλα ἄλλοις καταχρώμεθα ὀνόμασιν. Ὥσπερ τί; ἦν δ' ἐγώ. Ὥσπερ τόδε. οἶσθ' ὅτι ποίησις ἐστί τι πολύ. ἡ γάρ τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἰόντι ὁτῳοῦν αἰτία πᾶσα, ἐστὶ ποίησις. ὥστε καὶ αἱ ὑπὸ πάσαις ταῖς τέχναις ἐργασίαι, ποιήσεις εἰσί· καὶ οἱ τούτων δημιουργοὶ πάντες, ποιηταί. Ἀληθῆ λέγεις. Ἀλλ' ὅμως ἤδη οἶσθ' ὅτι οὐ καλοῦνται ποιηταὶ, ἀλλὰ ἄλλα ἔχουσιν ὀνόματα· ἀπὸ δὲ πάσης τῆς ποιήσεως ἓν μόριον ἀφορισθὲν τὸ περὶ τὴν μουσικὴν καὶ τὰ μέτρα, τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται. ποίησις γὰρ τοῦτο μόνον καλεῖται· καὶ οἱ ἔχοντες τοῦτο τὸ μόριον τῆς ποιήσεως, ποιηταί. Ἀληθῆ λέγεις, ἔφην. Οὕτω τοίνυν καὶ περὶ τὸν ἔρωτα, τὸ μὲν κεφάλαιον ἐστὶ πᾶσα ἡ τῶν ἀγαθῶν ἐπιθυμία καὶ τοῦ εὐδαιμονεῖν, ὁ μέγιστός τε καὶ δολερὸς ἔρως παντί· ἀλλ' οἱ μὲν ἄλλοι τρεπόμενοι πολλαχῇ ἐπ' αὐτὸν, ἢ κατὰ χρηματισμὸν, ἢ κατὰ φιλογυμναστίαν, ἢ κατὰ φιλοσοφίαν, οὔτ' ἐρᾷν καλοῦνται, οὔτ' ἐρασταί· οἱ δὲ κατὰ ἕν τι εἶδος ἰόντες καὶ ἐσπουδακότες, τὸ τοῦ ὅλου ὄνομα ἔχουσιν, ἔρωτά τε καὶ ἐρᾷν, καὶ ἐρασταί. Κινδυνεύεις ἀληθῆ λέγειν, ἔφην ἐγώ. Καὶ λέγεται μέν γέ τις, ἔφη, λόγος, ὡς οἳ ἂν τὸ ἥμισυ ἑαυτῶν ζη-

τῶσιν, οὗτοι ἐρῶσιν. ὁ δ᾽ ἐμὸς λόγος οὔτε ἡμίσεος φησὶν εἶναι τὸν ἔρωτα, οὔτε ὅλου· ἐὰν μὴ τυγχάνῃ γέ που, ὦ ἑταῖρε, ἀγαθὸν ὄν. ἐπεὶ αὐτῶν τε καὶ πόδας καὶ χεῖρας ἐθέλουσιν ἀποτέμνεσθαι οἱ ἄνθρωποι, ἐὰν αὐτοῖς δοκῇ τὰ ἑαυτῶν πονηρὰ εἶναι. οὐ γὰρ τὸ ἑαυτῶν, οἶμαι, ἕκαστοι ἀσπάζονται· εἰ μὴ εἴ τις τὸ μὲν ἀγαθὸν οἰκεῖον καλεῖ καὶ ἑαυτοῦ, τὸ δὲ κακὸν, ἀλλότριον. ὡς οὐδέν γε ἄλλο ἐστὶν οὗ ἐρῶσιν ἄνθρωποι, ἢ τοῦ ἀγαθοῦ. ἦ σοι δοκοῦσι; Μὰ Δί᾽ οὐκ ἔμοιγε, ἦν δ᾽ ἐγώ. Ἆρ᾽ οὖν ἤδη οὕτως ἁπλοῦν ἐστι λέγειν, ὅτι οἱ ἄνθρωποι τοῦ ἀγαθοῦ ἐρῶσι; Ναὶ, ἔφην. Τί δέ; οὐ προσθετέον, ἔφη, ὅτι καὶ εἶναι τὸ ἀγαθὸν αὑτοῖς ἐρῶσι; Προσθετέον. Ἆρ᾽ οὖν, ἔφη, καὶ οὐ μόνον εἶναι, ἀλλὰ ἀεὶ εἶναι; Καὶ τοῦτο προσθετέον. Ἔστιν ἄρα ξυλλήβδην, ἔφη, ὁ ἔρως τοῦ τὸ ἀγαθὸν αὑτῷ εἶναι ἀεί. Ἀληθέστατα, ἔφην ἐγὼ, λέγεις. Ὅτε δὴ τοῦτο ὁ ἔρως ἐστὶν ἀεὶ, ἤδη τῶν τίνα τρόπον διωκόντων αὐτὸν, καὶ ἐν τίνι πράξει, ἡ σπουδὴ καὶ ἡ σύστασις, ἔρως ἂν καλοῖτο; τί τοῦτο τυγχάνει ὂν τὸ ἔργον, ἔχεις εἰπεῖν; Οὐ μέντ᾽ ἄν σε, ἔφην ἐγὼ, ὦ Διοτίμα, ἐθαύμαζον ἐπὶ σοφίᾳ, καὶ ἐφοίτων παρά σε αὐτὰ ταῦτα μαθησόμενος. Ἀλλ᾽ ἐγώ σοι, ἔφη, ἐρῶ. ἔστι γὰρ τοῦτο τόκος ἐν καλῷ, καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν. Μαντείας, ἦν δ᾽ ἐγὼ, δεῖται ὅ, τι ποτὲ λέγεις· καὶ οὐ μανθάνω. Ἀλλ᾽ ἐγὼ ἤδη σαφέστερον ἐρῶ. κύουσι γὰρ, ἔφη, ὦ Σώκρατες, πάντες ἄνθρωποι καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν· καὶ ἐπειδὰν ἔν τινι ἡλικίᾳ γένωνται, τίκτειν ἐπιθυμεῖ ἡμῶν ἡ φύσις. τίκτειν δὲ ἐν μὲν αἰσχρῷ οὐ

στα οὐδέποτε τὰ αὐτὰ πάρεστιν ἑκάστῳ· ἀλλὰ τὰ μὲν γίγνεται, τὰ δὲ ἀπόλλυται. πολὺ δὲ τούτων ἀτοπώτερόν ἐστιν, ὅτι καὶ αἱ ἐπιστῆμαι, μὴ ὅτι αἱ μὲν γίγνονται, αἱ δὲ ἀπόλλυνται ἡμῖν· καὶ οὐδέποτε οἱ αὐτοί ἐσμεν οὐδὲ κατὰ τὰς ἐπιστήμας· ἀλλὰ καὶ μία ἑκάστη τῶν ἐπιστημῶν ταὐτὸν πάσχει. ὃ γὰρ καλεῖται μελετᾷν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης. λήθη γὰρ, ἐπιστήμης ἔξοδος· μελέτη δὲ πάλιν καινὴν ἐμποιοῦσα ἀντὶ τῆς ἀπιούσης μνήμην, σώζει τὴν ἐπιστήμην· ὥστε τὴν αὐτὴν δοκεῖν εἶναι. τούτῳ γὰρ τῷ τρόπῳ πᾶν τὸ θνητὸν σώζεται, οὐ τῷ παντάπασι τὸ αὐτὸ ἀεὶ εἶναι, ὥσπερ τὸ θεῖον, ἀλλὰ τῷ τὸ ἀπιὸν καὶ παλαιούμενον, ἕτερον νέον ἐγκαταλιπεῖν, οἷον αὐτὸ ἦν. ταύτῃ τῇ μηχανῇ, ὦ Σώκρατες, ἔφη, θνητὸν ἀθανασίας μετέχει, καὶ σῶμα, καὶ τἄλλα πάντα· ἀθάνατον δὲ, ἄλλῃ. μὴ οὖν θαύμαζε, εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει πᾶν τιμᾷ. ἀθανασίας γὰρ χάριν παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ Ἔρως ἕπεται. Καὶ ἐγὼ, ἀκούσας τὸν λόγον, ἐθαύμασά τε καὶ εἶπον, Εἶεν, ἦν δ' ἐγὼ, ὦ σοφωτάτη Διοτίμα, ταῦτα ὡς ἀληθῶς οὕτως ἔχει; Καὶ ἥ, ὥσπερ οἱ τέλειοι σοφισταὶ, Εὖ ἴσθι, ἔφη, ὦ Σώκρατες. ἐπεί γε καὶ τῶν ἀνθρώπων εἰ ἐθέλεις εἰς τὴν φιλοτιμίαν βλέψαι, θαυμάζοις ἂν τῆς ἀλογίας περὶ ἃ ἐγὼ εἴρηκα, εἰ μὴ ἐννοεῖς, ἐνθυμηθεὶς ὡς δεινῶς διάκεινται ἔρωτι τοῦ ὀνομαστοὶ γενέσθαι, καὶ κλέος εἰς τὸν ἀεὶ χρόνον ἀθάνατον καταθέσθαι· καὶ ὑπὲρ τούτου κινδύνους τε κινδυνεύειν ἕτοιμοι εἰσὶ πάντες, μᾶλλον ἢ ὑπὲρ τῶν παίδων, καὶ χρήματ' ἀναλίσκειν, καὶ πόνους

πονεῖν οὑστινασοῦν, καὶ ὑπεραποθνήσκειν. ἐπεὶ οἴει σὺ, ἔφη, Ἄλκηστιν ὑπὲρ Ἀδμήτου ἀποθανεῖν ἂν, ἢ Ἀχιλλέα Πατρόκλῳ ἐπαποθανεῖν, ἢ προαποθανεῖν ἂν τὸν ἡμέτερον Κόδρον ὑπὲρ τῆς βασιλείας τῶν παίδων, μὴ οἰομένους ἀθάνατον μνήμην ἀρετῆς περὶ αὑτῶν ἔσεσθαι, ἣν νῦν ἡμεῖς ἔχομεν; Πολλοῦ γε δεῖ, ἔφη· ἀλλ᾽, οἶμαι, ὑπὲρ ἀρετῆς ἀθανάτου καὶ τοιαύτης δόξης εὐκλεοῦς πάντες πάντα ποιοῦσιν· ὅσῳ ἂν ἀμείνους ὦσι, τοσούτῳ μᾶλλον. τοῦ γὰρ ἀθανάτου ἐρῶσιν. οἱ μὲν οὖν ἐγκύμονες, ἔφη, κατὰ σώματα ὄντες, πρὸς τὰς γυναῖκας μᾶλλον τρέπονται, καὶ ταύτῃ ἐρωτικοί εἰσι, διὰ παιδογονίας ἀθανασίαν καὶ μνήμην καὶ εὐδαιμονίαν, ὥς οἴονται, αὑτοῖς εἰς τὸν ἔπειτα χρόνον πάντα ποριζόμενοι· οἱ δὲ κατὰ τὴν ψυχήν. εἰσὶ γὰρ οὖν, ἔφη, οἳ καὶ ἐν ταῖς ψυχαῖς κυοῦσιν ἔτι μᾶλλον ἢ ἐν τοῖς σώμασιν, ἃ ψυχῇ προσήκει καὶ κυῆσαι καὶ κυεῖν. τί οὖν προσήκει; φρόνησίν τε καὶ τὴν ἄλλην ἀρετήν· ὧν δή εἰσι καὶ οἱ πάντες ποιηταὶ γεννήτορες, καὶ τῶν δημιουργῶν ὅσοι λέγονται εὑρετικοὶ εἶναι. πολὺ δὲ μεγίστη εἶναι, ἔφη, καὶ καλλίστη τῆς φρονήσεως, ἡ περὶ τὰς τῶν πόλεών τε καὶ οἰκήσεων διακόσμησις· ᾗ δὴ ὄνομά ἐστι σωφροσύνη τε καὶ δικαιοσύνη. τούτων δ᾽ αὖ ὅτάν τις ἐκ νέου ἐγκύμων ᾖ τὴν ψυχήν, θεῖος ὤν, καὶ ἡκούσης τῆς ἡλικίας τίκτειν τε καὶ γεννᾷν ἤδη ἐπιθυμεῖ. ζητεῖ δή, οἶμαι, καὶ οὗτος περιιὼν τὸ καλὸν ἐν ᾧ ἂν γεννήσειεν. ἐν τῷ γὰρ αἰσχρῷ οὐδέποτε γεννήσει. τά τε οὖν σώματα τὰ καλὰ μᾶλλον ἢ τὰ αἰσχρὰ ἀσπάζεται, ἅτε κυῶν· καὶ ἐὰν ἐν-

τα ἐν φιλοσοφίᾳ ἀφθόνῳ ἕως ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε. πειρῶ δέ μοι, ἔφη, τὸν νοῦν προσέχειν ὡς οἷόντε μάλιστα. ὃς γὰρ ἂν μέχρις ἐνταῦθα πρὸς τὰ ἐρωτικὰ παιδαγωγηθῇ, θεώμενος ἐφεξῆς τε καὶ ὀρθῶς τὰ καλά, πρὸς τέλος ἤδη ἰὼν τῶν ἐρωτικῶν, ἐξαίφνης κατόψεται τὶ θαυμαστὸν τὴν φύσιν καλόν· τοῦτο ἐκεῖνο, ὦ Σώκρατες, οὗ δὴ ἕνεκα καὶ οἱ ἔμπροσθεν πάντες πόνοι ἦσαν· πρῶτον μὲν, ἀεὶ ὂν, καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμενον οὔτε φθῖνον· ἔπειτα, οὐ τῇ μὲν καλὸν, τῇ δ᾽ αἰσχρόν· οὐδὲ τοτὲ μὲν, τοτὲ δ᾽ οὔ· οὐδὲ πρὸς μὲν τὸ, καλὸν, πρὸς δὲ τὸ, αἰσχρόν· οὐδ᾽ ἔνθα μὲν, καλὸν, ἔνθα δὲ, αἰσχρόν· ὡς τισὶ μὲν ὂν καλὸν, τισὶ δὲ αἰσχρόν. οὐδ᾽ αὖ φαντασθήσεται αὐτὸ τὸ καλὸν, οἷον πρόσωπόν τι, οὐδὲ χεῖρες, οὐδὲ ἄλλο οὐδὲν, ὧν σῶμα μετέχει· οὐδέ τις λόγος, οὐδέ τις ἐπιστήμη. οὐδέ που ὂν ἐν ἑτέρῳ τινὶ, οἷον ἐν ζώῳ, ἢ ἐν γῇ, ἢ ἐν οὐρανῷ, ἢ ἔν τῳ ἄλλῳ· ἀλλὰ αὐτὸ καθ᾽ αὑτὸ μεθ᾽ αὑτοῦ μονοειδὲς ἀεὶ ὄν. τὰ δὲ ἄλλα πάντα καλὰ, ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον, γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων, μηδὲν ἐκεῖνο μήτέ τι πλέον μήτε ἔλαττον γίγνεσθαι, μηδὲ πάσχειν μηδέν. ὅταν δέ δή τις ἀπὸ τῶνδε, διὰ τὸ ὀρθῶς παιδεραστεῖν, ἐπανιὼν, ἐκεῖνο τὸ καλὸν ἄρχηται καθορᾶν, σχεδὸν ἄν τι ἅπτοιτο τοῦ τέλους. τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι, ἢ ὑπ᾽ ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ, ἀεὶ ἐπανιέναι· ὥσπερ

ἐπαναβαθμοῖς χρώμενον ἀπὸ ἑνὸς ἐπὶ δύο, καὶ ἀπὸ δυεῖν ἐπὶ πάντα τὰ καλὰ σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν καλῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα· ἔστ᾽ ἂν ἀπὸ τῶν μαθημάτων ἐπ᾽ ἐκεῖνο τὸ μάθημα τελευτήσῃ, ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτὸ τελευτῶν ὃ ἔστι καλόν. ἐνταῦθα τοῦ βίου, ὦ φίλε Σώκρατες, ἔφη ἡ Μαντινικὴ ξένη, εἴπέρ που ἄλλοθι, βιωτὸν ἀνθρώπῳ, θεωμένῳ αὐτὸ τὸ καλόν. ὃ ἐάν ποτε ἴδῃς, οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα, καὶ τοὺς καλοὺς παῖδάς τε καὶ νεανίσκους δόξει σοὶ εἶναι· οὓς νῦν ὁρῶν ἐκπέπληξαι, καὶ ἕτοιμος εἶ καὶ σύ, καὶ ἄλλοι πολλοὶ ὁρῶντες τὰ παιδικά, καὶ ξυνόντες ἀεὶ αὐτοῖς, εἴπως οἷόντ᾽ ἦν, μήτε ἐσθίειν, μήτε πίνειν, ἀλλὰ θεᾶσθαι μόνον καὶ ξυνεῖναι. τί δῆτα, ἔφη, οἰόμεθα, εἴτῳ γένοιτο αὐτὸ τὸ καλὸν ἰδεῖν εἰλικρινές, καθαρόν, ἄμικτον, ἀλλὰ μὴ ἀνάπλεων σαρκῶν τε ἀνθρωπίνων καὶ χρωμάτων, καὶ ἄλλης πολλῆς φλυαρίας θνητῆς, ἀλλ᾽ αὐτὸ τὸ θεῖον, καλὸν δύναιτο μονοειδὲς κατιδεῖν; ἆρ᾽ οἴει, ἔφη, φαῦλον βίον γίγνεσθαι ἐκεῖσε βλέποντος ἀνθρώπου, καὶ ἐκεῖνο ᾧ δεῖ θεωμένου, καὶ ξυνόντος αὐτῷ; ἢ οὐκ ἐνθυμῇ, ἔφη, ὅτι ἐνταῦθα αὐτῷ μοναχοῦ γενήσεται, ὁρῶντι ᾧ ὁρατὸν τὸ καλόν, τίκτειν οὐκ εἴδωλα ἀρετῆς, ἅτε οὐκ εἰδώλου ἐφαπτομένῳ, ἀλλ᾽ ἀληθῆ, ἅτε τοῦ ἀληθοῦς ἐφαπτομένῳ· τεκόντι δὲ ἀρετὴν ἀληθῆ, καὶ θρεψαμένῳ, ὑπάρχει θεοφιλεῖ γενέσθαι, καί, εἴπέρ τῳ ἄλλῳ ἀνθρώπῳ, ἀθανάτῳ καὶ ἐκείνῳ. Ταῦτα δή, ὦ Φαῖδρέ τε καὶ οἱ

ἄλλοι, ἔφη μὲν Διοτίμα, πέπεισμαι δ' ἐγώ· πεπεισμένος δὲ πειρῶμαι καὶ τοὺς ἄλλους πείθειν, ὅτι τούτου τοῦ κτήματος τῇ ἀνθρωπείᾳ φύσει συνεργὸν ἀμείνω Ἔρωτος οὐκ ἄν τις ῥᾳδίως λάβοι. διὸ δὴ ἔγωγε φημὶ χρῆναι πάντα ἄνδρα τὸν Ἔρωτα τιμᾷν· καὶ αὐτὸς τιμῶ τὰ ἐρωτικὰ, καὶ διαφερόντως ἀσκῶ, καὶ τοῖς ἄλλοις παρακελεύομαι, καὶ νῦν τε καὶ ἀεὶ ἐγκωμιάζω τὴν δύναμιν καὶ ἀνδρίαν τοῦ Ἔρωτος καθ' ὅσον οἷόστ' εἰμί. τοῦτον οὖν τὸν λόγον, ὦ Φαῖδρε, εἰ μὲν βούλει, ὡς ἐγκώμιον εἰς Ἔρωτα νόμισον εἰρῆσθαι· εἰ δὲ, ὅ, τι καὶ ὅπη χαίρεις ὀνομάζων, τοῦτο ὀνόμαζε. Εἰπόντος δὲ ταῦτα τοῦ Σωκράτους, τοὺς μὲν, ἐπαινεῖν, τὸν δὲ Ἀριστοφάνην λέγειν τι ἐπιχειρεῖν, ὅτι ἐμνήσθη αὐτοῦ λέγων ὁ Σωκράτης περὶ τοῦ λόγου· καὶ ἐξαίφνης τὴν αὔλειον θύραν κροτουμένην πολὺν ψόφον παρασχεῖν, ὡς κωμαστῶν καὶ αὐλητρίδος φωνὴν ἀκούειν. τὸν οὖν Ἀγάθωνα, Παῖδες, φάναι, οὐ σκέψεσθε; καὶ ἐὰν μέν τις τῶν ἐπιτηδείων ᾖ, καλεῖτε· εἰ δὲ μὴ, λέγετε ὅτι οὐ πίνομεν, ἀλλὰ ἀναπαυόμεθα ἤδη. Καὶ οὐ πολὺ ὕστερον Ἀλκιβιάδου τὴν φωνὴν ἀκούειν ἐν τῇ αὐλῇ σφόδρα μεθύοντος, καὶ μέγα βοῶντος· καὶ ἐρωτῶντος ὅπου Ἀγάθων, καὶ κελεύοντος ἄγειν παρ' Ἀγάθωνα. ἄγειν οὖν αὐτὸν παρὰ σφᾶς τήν τε αὐλητρίδα ὑπολαβοῦσαν, καὶ ἄλλους τινὰς τῶν ἀκολούθων, καὶ ἐπιστῆναι ἐπὶ τὰς θύρας ἐστεφανωμένον αὐτὸν κιττοῦ τινι στεφάνῳ δασεῖ καὶ ἴων, καὶ ταινίας ἔχοντα ἐπὶ τῆς κεφαλῆς πάνυ πολλάς· καὶ εἰπεῖν, Ἄνδρες χαίρετε. μεθύοντα ἄνδρα πάνυ σφόδρα δέξασθε συμπότην.

ἢ ἀπίωμεν ἀναδήσαντες μόνον Ἀγάθωνα, ἐφ' ὅπερ ἤλθομεν. ἐγὼ γάρτοι, φάναι, χθὲς μὲν οὐχ οἷόστ' ἐγενόμην ἀφικέσθαι· νῦν δὲ ἥκω ἐπὶ τῇ κεφαλῇ ἔχων τὰς ταινίας, ἵνα ἀπὸ τῆς ἐμῆς κεφαλῆς τὴν τοῦ σοφωτάτου καὶ καλλίστου κεφαλὴν, ἐὰν εἴπω οὑτωσὶ, ἀναδήσω, ἆρα καταγελάσεσθέ μου ὡς μεθύοντος; ἐγὼ δὲ, κἂν ὑμεῖς γελᾶτε, ὅμως εὖ οἶδ' ὅτι ἀληθῆ λέγω. ἀλλά μοι λέγετε αὐτόθεν, ἐπὶ ῥητοῖς εἰσίω, ἢ μή· συμπίεσθε, ἢ οὔ. Πάντας οὖν ἀναθορυβῆσαι, καὶ κελεύειν εἰσιέναι καὶ κατακλίνεσθαι· καὶ τὸν Ἀγάθωνα καλεῖν αὐτόν. καὶ τὸν ἰέναι, ἀγόμενον ὑπὸ τῶν ἀνθρώπων· καὶ περιαιρούμενον ἅμα τὰς ταινίας ὡς ἀναδήσοντα, ἐπίπροσθεν τῶν ὀφθαλμῶν ἔχοντα, οὐ κατιδεῖν τὸν Σωκράτη, ἀλλὰ καθίζεσθαι παρὰ τὸν Ἀγάθωνα, ἐν μέσῳ Σωκράτους τε καὶ ἐκείνου· παραχωρῆσαι γὰρ τὸν Σωκράτη, ὡς ἐκεῖνον καθίζειν. παρακαθεζόμενον δὲ αὐτὸν, ἀσπάζεσθαί τε τὸν Ἀγάθωνα, καὶ ἀναδεῖν. εἰπεῖν οὖν τὸν Ἀγάθωνα, Ὑπολύετε, παῖδες, Ἀλκιβιάδην, ἵνα ἐκ τρίτων κατακέηται. Πάνυ γε, εἰπεῖν τὸν Ἀλκιβιάδην· ἀλλὰ τίς ἡμῖν τρίτος ὅδε συμπότης; Καὶ ἅμα μεταστρεφόμενον αὐτὸν, ὁρᾶν τὸν Σωκράτη· ἰδόντα δὲ, ἀναπηδῆσαι, καὶ εἰπεῖν, Ὦ Ἡράκλεις, τουτὶ τί ἦν; Σωκράτης οὗτος ἐλλοχῶν αὖ με ἐνταῦθα κατέκεισο, ὥσπερ εἰώθεις ἐξαίφνης ἀναφαίνεσθαι ὅπου ἐγὼ ᾤμην ἥκιστά σε ἔσεσθαι. καὶ νῦν τί ἥκεις; καὶ τί αὖ ἐνταῦθα κατεκλίνης; ὡς οὐ παρὰ Ἀριστοφάνει, οὔτε εἴτις ἄλλος γελοῖος ἐστί τε καὶ βούλεται· ἀλλὰ διεμηχανήσω ὅπως παρὰ τῷ καλλίστῳ τῶν ἔνδον κατα-

κείσῃ. Καὶ τὸν Σωκράτη, Ἀγάθων, φάναι, ὅρα εἴ μοι ἐπαμύνεις· ὡς ἐμοὶ ὁ τούτου ἔρως τοῦ ἀνθρώπου οὐ φαῦλον πρᾶγμα γέγονεν. ἀπ' ἐκείνου γὰρ τοῦ χρόνου ἀφ' οὗ τούτου ἠράσθην, οὐκέτι ἔξεστί μοι οὔτε προσβλέψαι, οὔτε διαλεχθῆναι καλῷ οὐδενί. ἢ οὑτοσὶ ζηλοτυπῶν με καὶ φθονῶν, θαυμάσια ἐργάζεται, καὶ λοιδορεῖταί τε καὶ τὼ χεῖρε μόγις ἀπέχεται. ὅρα οὖν μή τι καὶ νῦν ἐργάσηται· ἀλλὰ διάλλαξον ἡμᾶς, ἢ, ἐὰν ἐπιχειρῇ βιάζεσθαι, ἐπάμυνε· ὡς ἐγὼ τὴν τούτου μανίαν τε καὶ φιλεραστίαν πάνυ ὀῤῥωδῶ. Ἀλλ' οὐκ ἔστι, φάναι τὸν Ἀλκιβιάδην, ἐμοὶ καὶ σοὶ διαλλαγή. ἀλλὰ τούτων μὲν εἰσαῦθις σὲ τιμωρήσομαι· νῦν δέ μοι Ἀγάθων, φάναι, μετάδος τῶν ταινιῶν, ἵνα ἀναδήσω καὶ τὴν τούτου ταυτηνὶ τὴν θαυμαστὴν κεφαλήν· καὶ μή μοι μέμφηται ὅτι σὲ μὲν ἀνέδησα, αὐτὸν δὲ, νικῶντα ἐν λόγοις πάντας ἀνθρώπους, οὐ μόνον πρώην, ὥσπερ σὺ, ἀλλ' ἀεὶ, ἔπειτα οὐκ ἀνέδησα. Καὶ ἅμα αὐτὸν λαβόντα τῶν ταινιῶν, ἀναδεῖν τὸν Σωκράτη, καὶ κατακλίνεσθαι. ἐπειδὴ δὲ κατεκλίνη, εἰπεῖν, Εἶεν δή, ἄνδρες. δοκεῖτε γάρ μοι νήφειν. οὐκ ἐπιτρεπτέον οὖν ὑμῖν, ἀλλὰ ποτέον· ὡμολόγηται γὰρ ταῦθ' ἡμῖν. ἄρχοντα οὖν ὑμῖν αἱροῦμαι τῆς πόσεως, ἕως ἂν ὑμεῖς ἱκανῶς πίητε, ἐμαυτόν. ἀλλὰ φερέτω Ἀγάθων, εἴτι ἐστὶν ἔκπωμα μέγα. μᾶλλον δὲ οὐδὲν δεῖ· ἀλλὰ φέρε, παῖ, φάναι, τὸν ψυκτῆρα ἐκεῖνον· ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. τοῦτον ἐμπλησάμενον, πρῶτον μὲν αὐτὸν ἐκπιεῖν, ἔπειτα τῷ Σωκράτει κελεύειν ἐγχεῖν· καὶ ἅμα εἰπεῖν, Πρὸς

μὲν Σωκράτη, ὦ ἄνδρες. τὸ σόφισμα μοὶ οὐδέν. ὁ πόσον γὰρ ἂν κελεύσῃ τὶς, τοσοῦτον ἐκπιὼν, οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ. τὸν μὲν οὖν Σωκράτη ἐγχέαντος τοῦ παιδὸς πίνειν· τὸν δ᾽ Ἐρυξίμαχον, Πῶς οὖν, φάναι, ὦ Ἀλκιβιάδη, ποιοῦμεν; οὕτως οὔτέ τι λέγομεν ἐπὶ τῇ κύλικι, οὔτέ τι ᾄδομεν; ἀλλ᾽ ἀτεχνῶς, ὥσπερ οἱ διψῶντες, πιόμεθα; Τὸν οὖν Ἀλκιβιάδην εἰπεῖν, Ὦ Ἐρυξίμαχε, βέλτιστε βελτίστου πατρὸς καὶ σωφρονεστάτου, χαῖρε. Καὶ γὰρ σὺ, φάναι τὸν Ἐρυξίμαχον· ἀλλὰ τί ποιῶμεν; Ὅ, τι ἂν σὺ κελεύῃς. δεῖ γάρ σοι πείθεσθαι. Ἰατρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. Ἐπίταττε οὖν ὅ, τι βούλει. Ἄκουσον δὴ, εἰπεῖν τὸν Ἐρυξίμαχον· ἡμῖν, πρίν σε εἰσελθεῖν, ἔδοξε χρῆναι ἐπιδέξια ἕκαστον ἐν μέρει λόγον περὶ Ἔρωτος εἰπεῖν ὡς δύναιτο κάλλιστον, καὶ ἐγκωμιάσαι. οἱ μὲν οὖν ἄλλοι πάντες ἡμεῖς εἰρήκαμεν· σὺ δ᾽ ἐπειδὴ οὐκ εἴρηκας, καὶ ἐμπέπωκας, δίκαιος εἶ εἰπεῖν· εἰπὼν δ᾽ ἐπιτάξαι Σωκράτει ὅ, τι ἂν βούλῃ· καὶ τοῦτον, τῷ ἐπὶ δεξιᾷ, καὶ οὕτω τοὺς ἄλλους. Ἀλλὰ, φάναι, ὦ Ἐρυξίμαχε, τὸν Ἀλκιβιάδην, καλῶς μὲν λέγεις· μεθύοντα δὲ ἄνδρα παρὰ νηφόντων λόγους παραβάλλειν, μὴ οὐκ ἐξ ἴσου ᾖ. καὶ ἅμα, ὦ μακάριε, πείθει τί σε Σωκράτης, ὧν ἄρτι εἶπεν; ἢ οἶσθα ὅτι τοὐναντίον ἐστὶ πᾶν ἢ ὃ ἔλεγεν; οὗτος γὰρ, ἐάν τινα ἐγὼ ἐπαινέσω τούτου παρόντος ἢ θεὸν, ἢ ἄνθρωπον ἄλλον ἢ τοῦτον, οὐκ ἀφέξεταί μου τὼ χεῖρε. Οὐκ εὐφημήσεις; φάναι τὸν Σωκράτη. Μὰ τὸν Ποσειδῶ, εἰπεῖν τὸν Ἀλκιβιάδην, μηδὲν λέγε πρὸς ταῦτα· ὡς

ἐμαυτῷ ὅτι εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα, οὐκ ἂν καρτερήσαιμι, ἀλλὰ ταὐτὰ ἂν πάσχοιμι. ἀναγκάζει γάρ με ὁμολογεῖν, ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι, ἐμαυτοῦ μὲν ἀμελῶ, τὰ δ᾽ Ἀθηναίων πράττω. βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν Σειρήνων ἐπισχόμενος τὰ ὦτα οἴχομαι φεύγων· ἵνα μὴ αὐτοῦ καθήμενος παρὰ τούτῳ καταγηράσω. πέπονθα δὲ πρὸς τοῦτον μόνον ἀνθρώπων, ὃ οὐκ ἄν τις οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι, τὸ αἰσχύνεσθαι ὁντινοῦν. ἐγὼ δὲ τοῦτον μόνον αἰσχύνομαι. ξύνοιδα γὰρ ἐμαυτῷ ἀντιλέγειν μὲν οὐ δυναμένῳ ὡς οὐ δεῖ ποιεῖν ἃ οὗτος κελεύει· ἐπειδὰν δὲ ἀπέλθω, ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν. δραπετεύω οὖν αὐτὸν, καὶ φεύγω· καὶ ὅταν ἴδω, αἰσχύνομαι τὰ ὡμολογημένα. καὶ πολλάκις μὲν ἡδέως ἂν ἴδοιμι αὐτὸν μὴ ὄντα ἐν ἀνθρώποις· εἰ δ᾽ αὖ τοῦτο γένοιτο, εὖ οἶδα ὅτι πολὺ μεῖζον ἂν ἀχθοίμην. ὥστε οὐκ ἔχω ὅ, τι χρήσομαι τούτῳ τῷ ἀνθρώπῳ. καὶ ὑπὸ μὲν δὴ τῶν αὐλημάτων καὶ ἐγὼ καὶ ἄλλοι πολλοὶ τοιαῦτα πεπόνθασιν ὑπὸ τοῦδε τοῦ σατύρου. ἀλλὰ δὴ ἐμοῦ ἀκούσατε ὡς ὅμοιός τέ ἐστιν οἷς ἐγὼ εἴκασα αὐτὸν, καὶ τὴν δύναμιν ὡς θαυμασίαν ἔχει. εὖ γὰρ ἴστε ὅτι οὐδεὶς ὑμῶν τοῦτον γινώσκει· ἀλλὰ ἐγὼ δηλώσω, ἐπείπερ ἠρξάμην. ὁρᾶτε γὰρ ὅτι Σωκράτης ἐρωτικῶς διάκειται τῶν καλῶν, καὶ ἀεὶ περὶ τούτους ἐστὶ καὶ ἐκπέπληκται· καὶ αὖ ἀγνοεῖ πάντα, καὶ οὐδὲν οἶδεν, ὡς τὸ σχῆμα αὐτοῦ τοῦτο ὂν σειληνῶδες σφόδρα γε. τοῦτο γὰρ οὗτος ἔξωθεν περιβέβληται, ὥσπερ ὁ γεγλυμμένος Σειληνός. ἔνδοθεν δὲ ἀνοιχθεὶς, πόσης οἴεσθε γέ-

μει, ὦ ἄνδρες συμπόται, σωφροσύνης; ἴστε ὅτι οὔτ' εἴτις καλός ἐστι μέλει αὐτῷ οὐδὲν, ἀλλὰ καταφρονεῖ τοσοῦτον, ὅσον οὐδ' ἂν εἷς οἰηθείη· οὔτ' εἴτις πλούσιος, οὔτ' εἰ ἄλλην τινὰ τιμὴν ἔχων τῶν ὑπὸ πλήθους μακαριζομένων. ἡγεῖται δὲ πάντα ταῦτα τὰ κτήματα οὐδενὸς ἄξια, καὶ ἡμᾶς οὐδὲν εἶναι· εἰρωνευόμενος δὲ καὶ παίζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους διατελεῖ. σπουδάσαντος δὲ αὐτοῦ καὶ ἀνοιχθέντος οὐκ οἶδα εἴτις ἑώρακε τὰ ἐντὸς ἀγάλματα. ἀλλ' ἐγὼ ἤδη ποτ' εἶδον· καί μοι ἔδοξεν οὕτω θεῖα καὶ χρυσᾶ εἶναι καὶ πάγκαλα καὶ θαυμαστὰ, ὥστε ποιητέον εἶναι ἐν βραχεῖ ὅ, τι κελεύει Σωκράτης. ἡγούμενος δὲ αὐτὸν ἐσπουδακέναι ἐπὶ τῇ ἐμῇ ὥρᾳ, ἕρμαιον ἡγησάμην εἶναι καὶ εὐτύχημα ἐμὸν θαυμαστόν· ὡς ὑπάρχον μοὶ, χαρισαμένῳ Σωκράτει, πάντ' ἀκοῦσαι ὅσά περ οὗτος ᾔδει. ἐφρόνουν γὰρ ἤδη ἐπὶ τῇ ὥρᾳ θαυμάσιον ὅσον. ταῦτα οὖν διανοηθεὶς προτοῦ, οὐκ εἰωθὼς ἄνευ ἀκολούθου μόνος μετ' αὐτοῦ γίγνεσθαι, τότε ἀποπέμπων τὸν ἀκόλουθον, μόνος συνεγιγνόμην. δεῖ γὰρ πρὸς ὑμᾶς πάντα τἀληθῆ εἰπεῖν. ἀλλὰ προσέχετε τὸν νοῦν· καὶ, εἰ ψεύδομαι, Σώκρατες, ἐξέλεγχε. συνεγιγνόμην γὰρ, ὦ ἄνδρες, μόνος μόνῳ, καὶ ᾤμην αὐτίκα διαλέξεσθαι αὐτόν μοι, ἅπερ ἂν ἐραστὴς παιδικοῖς ἐν ἐρημίᾳ διαλεχθείη, καὶ ἔχαιρον. τούτων δ' οὐ μάλα ἐγίγνετο οὐδέν· ἀλλ' ὥσπερ εἰώθει, διαλεχθεὶς ἄν μοι καὶ συνημερεύσας ᾤχετο ἀπιών. μετὰ ταῦτα συγγυμνάζεσθαι προὐκαλούμην αὐτὸν, καὶ συνεγυμναζόμην, ὥς τι ἐνταῦθα περανῶν. συνεγυμνάζετο οὖν μοι καὶ

προσεπάλαιε πολλάκις οὐδενὸς παρόντος. καὶ τί δεῖ λέγειν; οὐδὲν γάρ μοι πλέον ἦν. ἐπειδὴ δὲ οὐδαμῇ ταύτῃ ἤνυτον, ἔδοξέ μοι ἐπιθετέον εἶναι τῷ ἀνδρὶ κατὰ τὸ καρτερὸν, καὶ οὐκ ἀνετέον, ἐπειδήπερ ἐγκεχειρήκειν, ἀλλὰ ἰστέον ἤδη τί ἐστι τὸ πρᾶγμα. προκαλοῦμαι δὴ αὐτὸν πρὸς τὸ συνδειπνεῖν, ἀτεχνῶς ὥσπερ ἐραστὴς παιδικοῖς ἐπιβουλεύων. καί μοι οὐδὲ τοῦτο ταχὺ ὑπήκουσεν, ὅμως δ' οὖν χρόνῳ ἐπείσθη. ἐπειδὴ δὲ ἀφίκετο, τοπρῶτον συνδειπνήσας ἀπιέναι ἐβούλετο. καὶ τότε μὲν αἰσχυνόμενος ἀφῆκα αὐτόν· αὖθις δὲ ἐπιβουλεύσας, ἐπειδὴ ἐδεδειπνήκει, διελεγόμην πόῤῥω τῶν νυκτῶν· καὶ ἐπειδὴ ἐβούλετο ἀπιέναι, σκηπτόμενος ὅτι ὀψὲ εἴη, προσηνάγκασα αὐτὸν μένειν. ἀνεπαύετο οὖν ἐν τῇ ἐχομένῃ ἐμοῦ κλίνῃ, ἐν ᾗπερ ἐδείπνει· καὶ οὐδεὶς ἐν τῷ οἰκήματι ἄλλος καθηῦδεν ἢ ἡμεῖς. μέχρι μὲν οὖν δὴ δεῦρο τοῦ λόγου, καλῶς ἂν ἔχοι καὶ πρὸς ὁντινοῦν λέγειν· τὸ δ' ἐντεῦθεν οὐκ ἄν μου ἠκούσατε λέγοντος, εἰ μὴ πρῶτον μὲν, τὸ λεγόμενον, οἶνος ἄνευ τε παίδων καὶ μετὰ παίδων ἦν ἀληθής· ἔπειτα ἀφανίσαι Σωκράτους ἔργον ὑπερήφανον, εἰς ἔπαινον ἐλθόντα, ἄδικόν μοι φαίνεται. ἔτι δὲ τὸ τοῦ δηχθέντος ὑπὸ τοῦ ἔχεως πάθος κἀμὲ ἔχει. φασὶ γάρ που τινὰ τοῦτο παθόντα, οὐκ ἐθέλειν λέγειν οἷον ἦν πλὴν τοῖς δεδηγμένοις, ὡς μόνοις γνωσομένοις τε καὶ συγγνωσομένοις εἰ πᾶν ἐτόλμα δρᾷν τε καὶ λέγειν ὑπὸ τῆς ὀδύνης. ἐγὼ οὖν δεδηγμένος τε ὑπὸ ἀλγεινοτέρου, καὶ τὸ ἀλγεινότατον ὧν ἄν τις δηχθείη. τὴν καρδίαν γὰρ, ἢ ψυχὴν, ἢ ὅ, τι δεῖ αὐτὸ ὀνομάσαι,

πληγεὶς τε καὶ δηχθεὶς ὑπὸ τῶν ἐν φιλοσοφίᾳ λόγων, οἳ ἔχονται ἐχίδνης ἀγριώτερον, νέου ψυχῆς καὶ μὴ ἀφυοῦς ὅταν λάβωνται, καὶ ποιοῦσι δρᾷν τε καὶ λέγειν ὁτιοῦν· καὶ ὁρῶν αὖ Φαίδρους, Ἀγάθωνας, Ἐρυξιμάχους, Παυσανίας, Ἀριστοδήμους τε καὶ Ἀριστοφάνεις. Σωκράτη δὲ αὐτὸν τί δεῖ καὶ λέγειν, καὶ ὅσοι ἄλλοι; πάντες γὰρ κεκοινωνήκατε τῆς φιλοσόφου μανίας τε καὶ βακχείας. διὸ πάντες ἀκούσεσθε. συγγνώσεσθε γὰρ τοῖς τότε πραχθεῖσι, καὶ τοῖς νῦν λεγομένοις. οἱ δὲ οἰκέται, καὶ εἴτις ἄλλος ἐστὶ βέβηλός τε καὶ ἀγροῖκος, πύλας πάνυ μεγάλας τοῖς ὠσὶν ἐπίθεσθε. ἐπειδὴ γὰρ οὖν, ὦ ἄνδρες, ὅ, τε λύχνος ἀπεσβήκει, καὶ οἱ παῖδες ἔξω ἦσαν, ἔδοξέ μοι χρῆναι μηδὲν ποικίλλειν πρὸς αὐτὸν, ἀλλ᾽ ἐλευθέρως εἰπεῖν ἅ μοι ἐδόκει. καὶ εἶπον, κινήσας αὐτὸν, Σώκρατες καθεύδεις; Οὐ δῆτα, ἦ δ᾽ ὅς. Οἶσθα οὖν ἅ μοι δέδοκται; Τί μάλιστα; ἔφη. Σὺ ἐμοὶ δοκεῖς, ἦν δ᾽ ἐγὼ, ἐμοῦ ἐραστὴς ἄξιος γεγονέναι μόνος· καί μοι φαίνῃ ὀκνεῖν μνησθῆναι πρός με. ἐγὼ δὲ οὑτωσὶ ἔχων, πάνυ ἀνόητον ἡγοῦμαι εἶναί σοι μὴ οὐ καὶ τοῦτο χαρίζεσθαι, καὶ εἴτι ἄλλο ἢ τῆς οὐσίας τῆς ἐμῆς δέοιο, ἢ τῶν φίλων τῶν ἐμῶν. ἐμοὶ μὲν γὰρ οὐδέν ἐστι πρεσβύτερον τοῦ ὡς ὅτι βέλτιστον ἐμὲ γενέσθαι. τούτου δὲ οἶμαί μοι συλλήπτορα οὐδένα κυριώτερον εἶναί σου. ἐγὼ δὴ τοιούτῳ ἀνδρὶ πολὺ μᾶλλον ἂν μὴ χαριζόμενος αἰσχυνοίμην τοὺς φρονίμους, ἢ, χαριζόμενος, τούς τε πολλοὺς καὶ ἄφρονας. Καὶ οὗτος ἀκούσας, μάλα εἰρωνικῶς καὶ σφόδρα ἑαυτῷ εἰωθότως ἔλεξεν, Ὦ φίλε Ἀλκιβιάδη, κινδυνεύεις τῷ

ὄντι οὐ φαῦλος εἶναι, εἴπερ ἀληθῆ τυγχάνει ὄντα ἃ λέγεις περὶ ἐμοῦ, καί τις ἔστ' ἐν ἐμοὶ δύναμις, δι' ἧς ἂν σὺ γένοιο ἀμείνων, ἀμήχανόν τε κάλλος ὁρῴης ἂν ἐν ἐμοὶ, καὶ τῆς παρά σοι εὐμορφίας πάμπολυ διαφέρον. εἰ δὴ καθορῶν αὐτὸ κοινώσασθαί τέ μοι ἐπιχειρεῖς, καὶ ἀλλάξασθαι κάλλος ἀντὶ κάλλους, οὐκ ὀλίγῳ μου πλεονεκτεῖν διανοῇ, ἀλλ' ἀντὶ δόξης ἀλήθειαν καλῶν κτᾶσθαι ἐπιχειρεῖς, καὶ τῷ ὄντι χρύσεα χαλκείων διαμείβεσθαι νοεῖς. ἀλλ', ὦ μακάριε, ἄμεινον σκόπει, μή σε λανθάνω οὐδὲν ὤν. ἥτοι τῆς διανοίας ὄψις ἄρχεται ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ· σὺ δὲ τούτων ἔτι πόῤῥω. Κἀγὼ ἀκούσας, Τὰ μὲν παρ' ἐμοῦ, ἔφην, ταῦτ' ἐστίν· ὧν οὐδὲν ἄλλως εἴρηται ἢ ὡς διανοοῦμαι. σὺ δὲ αὐτὸς οὕτω βουλεύου ὅ, τι σοί τε ἄριστον καὶ ἐμοὶ ἡγῇ. Ἀλλ', ἔφη, τοῦτό γε εὖ λέγεις. ἐν γὰρ τῷ ἐπιόντι χρόνῳ βουλευόμενοι πράξομεν ὃ ἂν φαίνηται νῷϊν περί τε τούτων καὶ περὶ τῶν ἄλλων ἄριστον. Ἐγὼ μὲν δὴ ταῦτα ἀκούσας τε καὶ εἰπὼν, καὶ ἀφεὶς, ὥσπερ βέλει τετρῶσθαι αὐτὸν ᾤμην. καὶ ἀναστάς γε, οὐδὲ ἐπιτρέψας τούτῳ εἰπεῖν οὐδὲν ἔτι, ἀμφιέσας τὸ ἱμάτιον τὸ ἐμαυτοῦ τοῦτο, (καὶ γὰρ ἦν χειμὼν) ὑπὸ τὸν τρίβωνα κατακλινεὶς τὸν τουτουΐ, περιβαλὼν τὼ χεῖρε τούτῳ τῷ δαιμονίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ, κατεκείμην τὴν νύκτα ὅλην. καὶ οὐδὲ ταῦτα αὖ, ὦ Σώκρατες, ἐρεῖς ὅτι ψεύδομαι. ποιήσαντος δὲ δὴ ταῦτα ἐμοῦ, οὗτος τοσοῦτον περιεγένετό τε καὶ κατεφρόνησε καὶ κατεγέλασε τῆς ἐμῆς ὥρας καὶ ὕβρισε· καίπερ ἐκεῖνό γε ᾤμην τὶ εἶ-

ναι, ὦ ἄνδρες δικασταί. δικασταὶ γάρ ἐστε τῆς Σωκράτους ὑπερηφανίας. εὖ γὰρ ἴστε, μὰ θεοὺς, μὰ θεὰς, οὐδὲν περιττότερον καταδεδαρθηκὼς ἀνέστην μετὰ Σωκράτους, ἢ εἰ μετὰ πατρὸς καθηῦδον, ἢ ἀδελφοῦ πρεσβυτέρου. τὸ δὴ μετὰ τοῦτο, τίνα οἴεσθέ με διάνοιαν ἔχειν, ἡγούμενον μὲν ἠτιμάσθαι, ἀγάμενον δὲ τὴν τούτου φύσιν τε, καὶ σωφροσύνην καὶ ἀνδρίαν; ἐντετυχηκότα ἀνθρώπῳ τοιούτῳ, οἵῳ ἐγὼ οὐκ ἂν ᾤμην ποτὲ ἐντυχεῖν εἰς φρόνησιν καὶ εἰς καρτερίαν; ὥστε οὔθ᾽ ὅπωσοῦν ὀργιζοίμην εἶχον, καὶ ἀποστερηθείην τῆς τούτου συνουσίας, οὔτε ὅπῃ προσαγαγοίμην αὐτὸν εὐπόρουν. εὖ γὰρ ᾔδειν ὅτι χρήμασί γε πολὺ μᾶλλον ἄτρωτος ἦν πανταχῇ, ἢ σιδήρῳ ὁ Αἴας· ᾧ τε ᾤμην αὐτὸν μόνῳ ἁλώσεσθαι, διεπεφεύγει με. ἠπόρουν δὴ, καταδεδουλωμένος τε ὑπὸ τοῦ ἀνθρώπου, ὡς οὐδεὶς ὑπ᾽ οὐδενὸς ἄλλου, περιῄα. ταῦτά τε γάρ μοι ἅπαντα προὐγεγόνει· καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινὴ, καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων. ὁπόταν γοῦν ἀναγκασθείημεν, ἀπολειφθέντες που, οἷα δὴ ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν. ἔν τ᾽ αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ᾽ ἦν· τά τ᾽ ἄλλα, καὶ πίνειν οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει· καὶ, ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι. πρὸς δὲ τὰς τοῦ χειμῶνος καρτερήσεις (δεινοὶ γὰρ

αὐτόθι χειμῶνες) θαυμάσια εἰργάζετο τά τε ἄλλα, καί ποτε ὄντος τοῦ πάγου οἵου δεινοτάτου, καὶ πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν, ἤ, εἴτις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα, καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας· οὗτος δ᾽ ἐν τούτοις ἐξῄει ἔχων ἱμάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν· ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν. καὶ ταῦτα μὲν δὴ ταῦτα. Οἷον δ᾽ αὖ τόδ᾽ ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι. ξυννοήσας γὰρ αὐτόθι ἕωθεν τὶ ἑστήκει σκοπῶν· καὶ ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ ἀνίει, ἀλλὰ εἱστήκει ζητῶν· καὶ ἤδη ἦν μεσημβρία, καὶ ἄνθρωποι ᾐσθάνοντο· καὶ θαυμάζοντες, ἄλλος ἄλλῳ ἔλεγεν ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τὶ ἕστηκε. τελευτῶντες δέ τινες τῶν Ἰώνων, ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες (καὶ γὰρ θέρος τότε ἦν) χαμεύνια ἐξενεγκάμενοι, ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ δὲ εἱστήκει μέχρις ἕως ἐγένετο, καὶ ἥλιος ἀνέσχεν· ἔπειτα ᾤχετ᾽ ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ. εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις. τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι. ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων, ἢ οὗτος, οὐκ ἐθέλων τετρωμένον ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ. καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς

στρατηγοὺς (καὶ τοῦτό γέ μοι οὔτε μέμψῃ, οὔτε ἐρεῖς ὅτι ψεύδομαι) ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων, καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν. ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον. ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα. ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν, εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαῤῥεῖν, καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ. ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ· (αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦν, διὰ τὸ ἐφ᾽ ἵππου εἶναι) πρῶτον μὲν, ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγε ἐδόκει, ὦ Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ διαπορεύεσθαι, ὥσπερ καὶ ἐνθάδε, βρενθυόμενος, καὶ τὼ ᾽φθαλμὼ παραβάλλων· ἠρέμα παρασκοπῶν καὶ τοὺς φίλους καὶ τοὺς πολεμίους· δῆλος ὢν παντὶ καὶ πάνυ πόῤῥωθεν ὅτι εἴτις ἅψεται τούτου τοῦ ἀνδρὸς, μάλα ἐῤῥωμένως ἀμυνεῖται. διὸ καὶ ἀσφαλῶς ἀπήει καὶ οὗτος καὶ ὁ ἕτερος. σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσι. πολλὰ μὲν οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτους ἐπαινέσαι καὶ θαυμάσια· ἀλλὰ τῶν μὲν ἄλλων ἐπιτηδευμάτων τάχ᾽ ἄν τις καὶ περὶ ἄλλου τοιαῦτα εἴποι· τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι, μήτε τῶν παλαιῶν μήτε τῶν νῦν ὄντων, τοῦτο ἄξιον παντὸς θαυ-

ματος. οἷος γὰρ Ἀχιλλεὺς ἐγένετο, ἀπεικάσειεν ἄν τις καὶ Βρασίδαν καὶ ἄλλους· καὶ οἷος αὖ Περικλῆς, καὶ Νέστορα καὶ Ἀντήνορα· εἰσὶ δὲ καὶ ἕτεροι· καὶ τοὺς ἄλλους κατὰ ταῦτ᾽ ἄν τις ἀπεικάζοι· οἷος δὲ οὑτοσὶ γέγονε τὴν ἀτοπίαν ἄνθρωπος, καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ, οὐδ᾽ ἐγγὺς ἂν εὕροι τὶς ζητῶν, οὔτε τῶν νῦν, οὔτε τῶν παλαιῶν· εἰ μὴ ἄρα οἷς ἐγὼ λέγω ἀπεικάζοι τὶς αὐτόν· ἀνθρώπων μὲν μηδενὶ, τοῖς δὲ Σειληνοῖς καὶ σατύροις, αὐτόν τε καὶ τοὺς λόγους. καὶ γὰρ οὖν καὶ τοῦτο ἐν τοῖς πρώτοις παρέλιπον, ὅτι καὶ οἱ λόγοι αὐτοῦ ὁμοιότατοι εἰσὶ τοῖς Σειληνοῖς τοῖς διοιγομένοις. εἰ γὰρ ἐθέλοι τὶς τῶν Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν πάνυ γελοῖοι τοπρῶτον· τοιαῦτα καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περιαμπέχονται σατύρου ἄν τινα ὑβριστοῦ δοράν. ὄνους γὰρ κανθηλίους λέγει, καὶ χαλκέας τινὰς, καὶ σκυτοτόμους, καὶ βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν τὰ αὐτὰ φαίνεται λέγειν· ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων καταγελάσειε. διοιγομένους δὲ ἰδὼν ἄν τις, καὶ ἐντὸς αὐτῶν γιγνόμενος, πρῶτον μὲν νοῦν ἔχοντας ἔνδον μόνους εὑρήσει τῶν λόγων, ἔπειτα θειοτάτους, καὶ πλεῖστα ἀγάλματα ἀρετῆς ἐν αὐτοῖς ἔχοντας, καὶ ἐπὶ πλεῖστον τείνοντας, μᾶλλον δὲ ἐπὶ πᾶν ὅσον προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ κἀγαθῷ ἔσεσθαι. ταῦτ᾽ ἐστὶν, ὦ ἄνδρες, ἃ ἐγὼ Σωκράτους ἐπαινῶ· καὶ αὖ ἃ μέμφομαι, συμμίξας ὑμῖν εἶπον ἅ με ὕβρισε. καὶ μέντοι οὐκ ἐμὲ μόνον ταῦτα πεποίηκεν, ἀλλὰ καὶ Χαρμίδην τὸν Γλαύκωνος, καὶ Εὐθύδημον τὸν

Διοκλέους, καὶ ἄλλους πάνυ πολλούς· οὓς οὗτος ἐξαπατῶν, ὡς ἐραστὴς, παιδικὰ μᾶλλον αὐτὸς καθίσταται ἀντ᾽ ἐραστοῦ. ἃ δὴ καί σοι λέγω, ὦ Ἀγάθων, μὴ ἐξαπατᾶσθαι ὑπὸ τούτου, ἀλλ᾽ ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα, εὐλαβηθῆναι, καὶ μὴ, κατὰ τὴν παροιμίαν, ὥσπερ νήπιον, παθόντα γνῶναι. Εἰπόντος δὴ ταῦτα τοῦ Ἀλκιβιάδου, γέλωτα γενέσθαι ἐπὶ τῇ παῤῥησίᾳ αὐτοῦ, ὅτι ἐδόκει ἔτι ἐρωτικῶς ἔχειν τοῦ Σωκράτους. τὸν οὖν Σωκράτη, Νήφειν μοὶ δοκεῖς, φάναι, ὦ Ἀλκιβιάδη. οὐ γάρ ἄν ποτε οὕτω κομψῶς κύκλῳ περιβαλλόμενος ἀφανίσαι ἐνεχείρεις οὗ ἕνεκα ταῦτα πάντα εἴρηκας, καὶ, ὡς ἐν παρέργῳ δὴ λέγων, ἐπὶ τελευτῆς αὐτὸ ἔθηκας· ὡς οὐ πάντα τούτου ἕνεκα [εἰρηκὼς, τοῦ ἐμὲ καὶ Ἀγάθωνα διαβάλλειν· οἰόμενος δεῖν ἐμὲ μὲν σοῦ ἐρᾷν καὶ μηδενὸς ἄλλου, Ἀγάθωνα δὲ ὑπὸ σοῦ ἐρᾶσθαι, καὶ μηδ᾽ ὑφ᾽ ἑνὸς ἄλλου. ἀλλ᾽ οὐκ ἔλαθες, ἀλλὰ τὸ σατυρικόν σου δρᾶμα τοῦτο καὶ Σειληνικὸν κατάδηλον ἐγένετο. ἀλλ᾽, ὦ φίλε Ἀγάθων, μηδὲν πλέον αὐτῷ γένηται· ἀλλὰ παρασκευάζου, ὅπως ἐμὲ καί σε μηδεὶς διαβάλλῃ. Τὸν οὖν Ἀγάθωνα εἰπεῖν, Καὶ μὴν, ὦ Σώκρατες, κινδυνεύεις ἀληθῆ λέγειν· τεκμαίρομαι δὲ καὶ ὡς κατεκλίνη ἐν μέσῳ ἐμοῦ τε καὶ σοῦ, ἵνα χωρὶς ἡμᾶς διαλάβῃ. οὐδὲν οὖν πλέον αὐτῷ ἔσται, ἀλλ᾽ ἐγὼ παρά σε ἐλθὼν κατακλινήσομαι. Πάνυ γε, φάναι τὸν Σωκράτη, δεῦρο ὑποκάτω ἐμοῦ κατακλίνου. Ὦ Ζεῦ, εἰπεῖν τὸν Ἀλκιβιάδην, οἷα αὖ πάσχω ὑπὸ τοῦ ἀνθρώπου. οἴεται μου δεῖν πανταχῇ περιεῖναι· ἀλλ᾽ εἰ μή τι ἄλλο, ὦ θαυμάσιε, ἐν

μέσῳ ἡμῶν ἔα Ἀγάθωνα κατακεῖσθαι. Ἀλλ᾽ ἀδύν τον, φάναι τὸν Σωκράτη. σὺ μὲν γάρ με ἐπήνεσα δεῖ δ᾽ ἐμὲ αὐτὸν ἐπιδέξια ἐπαινεῖν. ἐὰν οὖν ὑπό σ κατακλινῇ Ἀγάθων, οὐ δήπου ἐμὲ πάλιν ἐπαινέσ ται, πρὶν ὑπ᾽ ἐμοῦ μᾶλλον ἐπαινεθῆναι. ἀλλ᾽ ἔασο ὦ δαιμόνιε, καὶ μὴ φθονήσῃς τῷ μειρακίῳ ὑπ᾽ ἐμ ἐπαινεθῆναι. καὶ γὰρ πάνυ ἐπιθυμῶ αὐτὸν ἐγκ μιάσαι. Ἰοὺ ἰού, φάναι τὸν Ἀγάθωνα, Ἀλκιβιάδ οὐκ ἔσθ᾽ ὅπως ἂν ἐνθάδε μείναιμι· ἀλλὰ παντ μᾶλλον μεταναστήσομαι, ἵνα ὑπὸ Σωκράτους ἐπα νεθῶ. Ταῦτα ἐκεῖνα, φάναι τὸν Ἀλκιβιάδην, τὰ ε ωθότα· Σωκράτους παρόντος τῶν καλῶν μεταλ βεῖν ἀδύνατον ἄλλῳ. καὶ νῦν ὡς εὐπόρως καὶ πιθ νὸν λόγον εὗρεν, ὥστε παρ᾽ ἑαυτῷ τουτονὶ κατακε σθαι. Τὸν μὲν οὖν Ἀγάθωνα, ὡς κατακεισόμεν παρὰ τῷ Σωκράτει ἀνίστασθαι· ἐξαίφνης δὲ κωμ στὰς ἥκειν παμπόλλους ἐπὶ τὰς θύρας, καὶ ἐπιτ χόντας ἀνεῳγμέναις, ἐξιόντος τινὸς εἰς τὸ ἄντικρυ πορεύεσθαι παρὰ σφᾶς, καὶ κατακλίνεσθαι· κ θορύβου μεστὰ πάντα εἶναι, καὶ οὐκέτι ἐν κόσμ οὐδενὶ ἀναγκάζεσθαι πίνειν πάμπολυν οἶνον. τ μὲν οὖν Ἐρυξίμαχον καὶ τὸν Φαῖδρον καὶ ἄλλο τινὰς ἔφη ὁ Ἀριστόδημος οἴχεσθαι ἀπιόντας οἴκα ὕπνον λαβεῖν· καὶ καταδαρθεῖν πάνυ πολύ, ἅ μακρῶν τῶν νυκτῶν οὐσῶν· ἐξέγρεσθαι δὲ πρὸς μέραν, ἤδη ἀλεκτρυόνων ᾀδόντων. ἐξεγρόμενος ἰδεῖν τοὺς μὲν ἄλλους καθεύδοντας καὶ οἰχομένου Ἀγάθωνα δὲ καὶ Ἀριστοφάνην καὶ Σωκράτη ἔτι μ νους ἐγρηγορέναι, καὶ πίνειν ἐκ φιάλης μεγάλης ἐπ

α. τὸν οὖν Σωκράτη αὐτοῖς διαλέγεσθαι. καὶ
ιὲν ἄλλα ὁ Ἀριστόδημος οὐκ ἔφη μεμνῆσθαι τῶν
ον· (οὔτε γὰρ ἐξ ἀρχῆς παραγενέσθαι, ὑπονυ-
ζειν τε) τὸ μέντοι κεφάλαιον ἔφη, προσαναγκά-
τὸν Σωκράτη ὁμολογεῖν αὐτοὺς, τοῦ αὐτοῦ ἀν-
; εἶναι κωμῳδίαν καὶ τραγῳδίαν ἐπίστασθαι
ῖν, καὶ τὸν τέχνῃ τραγῳδοποιὸν ὄντα, καὶ κω-
οποιὸν εἶναι. ταῦτα δὴ ἀναγκαζομένους αὐτοὺς,
οὐ σφόδρα ἑπομένους, νυστάζειν. καὶ πρῶτον
καταδαρθεῖν τὸν Ἀριστοφάνη· ἤδη δὲ ἡμέρας
ομένης, τὸν Ἀγάθωνα. τὸν οὖν Σωκράτη κατα-
ίσαντ᾽ ἐκείνους, ἀναστάντα ἀπιέναι, καὶ αὐτὸς,
ερ εἰώθει, ἕπεσθαι· καὶ ἐλθόντα εἰς Λύκειον,
νιψάμενον ὥσπερ ἄλλοτε, τὴν ὅλην ἡμέραν δια-
ειν· καὶ οὕτω διατρίψαντα, εἰς ἑσπέραν οἴκοι
ταύεσθαι.

ΣΧΟΛΙΑ ΕΙΣ ΠΛΑΤΩΝΑ

ΕΙΣ ΤΟΝ ΤΙΜΑΙΟΝ.

Ὑπόθεσις.

Σωκράτης εἰς Πειραιᾶ ἀφικόμενος τῆς τῶν Βενδιδείων ἑορτῆς ἕνεκα καὶ πομπῆς, διείλεκται περὶ πολιτείας ἐκεῖ πρός τε Πολέμαρχον, καὶ Ἀδείμαντον, καὶ δὴ καὶ Θρασύμαχον, τὸν σοφιστήν. τῇ δὲ ὑστεραίᾳ τῆς ἡμέρας ταύτης ἐν ἄστει πρὸς Τίμαιον, καὶ Ἑρμοκράτη, καὶ Κριτίαν, καὶ τέταρτον ἐπὶ τούτοις ἄλλον ἀνώνυμον διηγεῖται τὴν ἐν Πειραιεῖ ξυνουσίαν, ὡς ἐν τῇ Πολιτείᾳ ὑπόκειται. διηγησάμενος δὲ, παρεκάλεσε καὶ τοὺς ἄλλους οἰκείους αὐτὸν ἀνταφεστιάσαι λόγοις τῇ ταύτης ὑστεραίᾳ. συνεληλύθασιν οὖν ἀκροασόμενοί τε καὶ ἐροῦντες εἰς τήνδε τὴν ἡμέραν τρίτην οὖσαν ἀπὸ τῆς ἐν Πειραιεῖ συνουσίας. ἔν τε γὰρ τῇ Πολιτείᾳ τὸ, κατέβην χθὲς

εἴρηται, κἀνταῦθα τὸ, τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δὲ ἑστιατόρων. πάρεισι δὲ εἰς τήνδε τὴν ἀκρόασιν οὐ πάντες, ἀλλ' ὁ τέταρτος δι' ἀσθένειαν ἀπολείπεται.

Pag. 1, lin. 1. Ὁ δὲ δὴ τέταρτος] Ὁ Ἀττικὸς, φησὶν ὁ Πρόκλος, ὀρθῶς περὶ τοῦ τετάρτου τοῦδε ἐπισημαίνεται. ἔοικε γὰρ ἀπολειπόμενος οὗτος εἶναι τῶν μετὰ Τιμαίου ξένων. διὸ καὶ Σωκράτης αὐτὸν ἐρωτᾷ τὸν Τίμαιον, ὁπούποτε εἴη ὁ τέταρτος, καὶ ἐκεῖνος ὡς περὶ ἐπιτηδείου τινὸς ἀπολογεῖται, τὴν ἀπουσίαν ἀναγκαίαν αὐτῷ καὶ ἀβούλητον δεικνύς.

1, 10. Ἀνταφεστιᾷν] Ἀνταφεστιᾷν φησιν, ἀλλ' οὐκ ἀνθεστιᾷν. ἡ γὰρ ἀφεστίασις τὴν ὁλοτελῆ τῆς ἑστιάσεως ἀποπλήρωσιν συνείληφεν.

3, 19. Εὐμνημόνευτον] Ὅτι τὸ ἄηθες εὐμνημόνευτον. κινεῖ γὰρ μᾶλλον τὴν φαντασίαν, ὡς παράδοξον, καὶ τοὺς τύπους ἑαυτοῦ τρανέστερον ἡμῖν ἐντίθησιν.

3, 22. Γάμων σύνερξιν] Ὑπὸ γὰρ τῶν ἀρχόντων κατὰ τὸ καθῆκον ἑκάστῳ λάθρα τῶν κλήρων γιγνομένων τῶν συνέρξεων, καὶ οὐ φανερῶς, ὑπολαμβάνειν ἀνάγκη τυχηρῶς τοὺς φαύλους συναρμόζεσθαι αὐτοὺς ταῖς φαύλαις, καὶ οὐ κατά τινα πρόνοιαν.

4, 12. Εἰς ἐπιθυμίαν ἀφίκοιτο] Ὅτι Σωκράτης ποθεῖ μετὰ τὴν πολιτείαν ταύτην ἰδεῖν κινουμένην τὴν πόλιν τὴν κατὰ αὐτὴν εἰς ἀγῶνας καὶ ἄθλους, ἵνα μετὰ τὴν εἰρηνικὴν ζωὴν, ἣν παραδέδωκε, τὰς περιστατικὰς ἐνεργείας ἱστορήσῃ.

5, 12. Τίμαιος] Τίμαιος, ἐκ Λοκρῶν τῶν Ἐπι-

ζεφυρίων, τῆς ἐν Ἰταλίᾳ πόλεως, φιλόσοφος Πυθαγόρειος, ἔγραψε μαθηματικά τε, καὶ περὶ φύσεως σύγγραμμα, τὸν Πυθαγορικὸν τρόπον· ἔνθεν ὁ Πλάτων καὶ τὸν διάλογον εἰς αὐτὸν ἔγραψε, καθὰ καὶ ὁ Σιλλογράφος φησὶ περὶ αὐτοῦ·

Πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξατο βίβλον,
Ἔνθεν ἀφορμισθεὶς Τιμαιογράφειν.

Ἐκ ταύτης τῆς πόλεως καὶ Ζάλευκος ὁ νομοθέτης ἦν. Ὁ δὲ Κριτίας ἦν μὲν γενναίας καὶ ἁδρᾶς φύσεως, ἥπτετο δὲ καὶ φιλοσόφων συνουσιῶν, καὶ ἐκαλεῖτο ἰδιώτης μὲν ἐν φιλοσόφοις, φιλόσοφος δὲ ἐν ἰδιώταις. ἐτυράννευσε δὲ καὶ αὐτὸς, εἷς τῶν λ' γεγονώς. Ὁ δὲ Ἑρμοκράτης, Συρακούσιός ἐστι στρατηγὸς, κατὰ νόμον ζῆν ἐφιέμενος· διὸ καὶ πολιτικῆς πως μετεῖχε, καὶ φιλοσοφίας.

6, 12. Ἄκουε δὴ] Τοῦτο παροιμιῶδές ἐστιν ἐφ' ὧν ἐκκαλέσασθαι βουλόμεθα τὸν ἀκούοντα, ἴσον ὂν τῷ, δέχου δὴ τὰ ἄξια ἀκοῆς.

6, 15. Οἰκεῖος] Λέγονται γὰρ Οἰκεῖοι καὶ οἱ συγγενεῖς.

6, 17. Ἐν τῇ ποιήσει]

Εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν.
Οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

6, 18. Κριτίαν ἡμέτερον πάππον]

Ἐξηκεστίδης,
Σόλων, Δρωπίδης, οὗ
Κριτίας ὁ πρῶτος, οὗ Κάλλαισχρος, οὗ
Γλαύκων, Κριτίας ὁ δεύτερος
Περικτιόνη, Χαρμίδης,

Πλάτων, Γλαύκων, Ἀδείμαντος.

6, 26. *Κριτίας*] ὁ παλαιὸς δηλαδή.

7, 3. *Ἀπατουρίων*] Ἀπατούρια, ἑορτὴ Ἀθήνησιν εἰς Διόνυσον, ἐκ τοῦδε· Μέλανθος ἀντὶ Θυμοίτου, τοῦ βασιλέως Ἀθηναίων, Ξάνθῳ μονομαχῶν τῷ Βοιωτῷ, ἀπατήσειν αὐτὸν εἰπών· παρὰ τὴν ὁμολογίαν, ὦ Ξάνθε, δεύτερος ἥκεις. τοῦ δὲ Ξάνθου ἐπιστραφέντος, ἵνα ἴδοι τὸν δεύτερον, αὐτὸν μὲν μηδένα ἰδεῖν, Μέλανθον δὲ τοῦτον ἐξ ἐπιδρομῆς ἀνελεῖν, καὶ οὕτως ἐξ ἀπάτης νικῆσαι Ἀθηναίους, ὑπὲρ Οἰνόης πολεμοῦντας Βοιωτοῖς. ἑώρταζον δὲ ἡμέρας τρεῖς, ὧν ἡ ά ἐκαλεῖτο Ἀνάῤῥυσις. τὰ γὰρ θύματα λέγεται Ἀναῤῥύματα, παρὰ τὸ ἄνω ἐρυόμενα θύεσθαι. καὶ γὰρ ἐν ταύτῃ πολλὰ ἐθύετο. ἡ δὲ β' Δορπία, καθ' ἣν εὐωχίαι καὶ δεῖπνα πολλά. ἡ δὲ γ' Κουρεῶτις. ἐν ταύτῃ γὰρ τοὺς κόρους ἐνέγραφον εἰς τοὺς φρατέρας, τριετεῖς ἢ τετραετεῖς ὄντας. ἐν ῇ καὶ τῶν παίδων οἱ ἐντρεχέστεροι ποιήματα ἅττα ᾖδον, τὰ τῶν παλαιῶν ῥαψῳδοῦντες.

7, 8. *Φρατέρων*] Ἀθήνησιν αἱ φυλαὶ μετὰ μὲν Ἴωνα δ', ἀπὸ δὲ Κλεισθένους ί, μετὰ δὲ ταῦτα ιβ'. διῃρέθη δὲ ἑκάστη εἰς τρία, καὶ τὸ τρίτον ἐκλήθη τριττὺς, εἶτα πατριὰ, καὶ φρατριὰ, καὶ φράτορες, οἱ εἰς τὴν αὐτὴν φυλὴν ταττόμενοι, καὶ φρατρίοι, ὡς ἀλλήλων συγγενεῖς, καὶ εἰς τούτους τοὺς φράτορας ἡ ἐγγραφὴ τῶν κόρων ἐγίγνετο.

7, 26. *Τί τε καὶ πῶς*] Τί, τὸ ἔργον, Πῶς, τίνα τρόπον. παρὰ τίνων τῶν διασωσαμένων αὐτὸ μέχρι τῆς Σόλωνος ἀκοῆς;

7, 29. Νομος] ἀπὸ τοῦ νενεμῆσθαι τὴν γῆν οὕτω λέγεται.

7, 29. Σαΐτικὸς] Ἐκ τῶν Μανεθὼ Αἰγυπτιακῶν ιζ΄ δυναστεία· Ποιμένες ἦσαν ἀδελφοὶ Φοίνικες ξένοι βασιλεῖς, οἳ καὶ Μέμφιν εἷλον, ὧν ὁ Σαΐτης ἐβασίλευσεν ἔτη ιθ΄, ἀφ' οὗ καὶ ὁ Σαΐτης νομὸς ἐκλήθη. οἳ καὶ ἐν τῷ Σεθρωίτῃ νομῷ πόλιν ἔκτισαν, ἀφ' ἧς ὁρμώμενοι Αἰγυπτίους ἐχειρώσαντο. β΄ τούτων Βνῶν ἔτη μ΄, γ΄ Ἀρχάνης ἔτη λ΄, δ΄ Ἄφωφις ἔτη ϱγ΄: ὁ δὲ Σαΐτης προσέθηκε μηνὶ ὥρας ιβ΄, ὡς εἶναι ἡμερῶν λ΄, καὶ τῷ ἐνιαυτῷ ἡμέρας ς΄, καὶ γέγονεν ἡμερῶν τξέ.

8, 1. Σαΐς] ἢ ὅτι τὴν Σαΐν ἀκίνητον φησὶ ὑπὸ σεισμῶν. διὸ καὶ Αἰγύπτιοι εἰς τὴν ἄρκτον αὐτὴν ἱερατικῶς ἀναπέμπουσιν, ὡς μετέχουσαν τινὸς ἐκεῖθεν ἀποῤῥοίας διὰ τὸν περὶ τὸν πόλον τόπον, δεξαμένην ἑδραίαν στάσιν.

8, 13. Φορωνέως] Φορωνεὺς, Ἰνάχου καὶ Μελίας, Ἄργει βασιλεύς. Νιόβη δὲ τούτου παῖς καὶ Τηλοδίκης, τῆς Ξούθου. Δευκαλίων δὲ καὶ Ἐπιμηθεὺς, ὁ Προμηθέως καὶ Κλυμένης. Πύῤῥα δὲ Ἐπιμηθέως καὶ Πανδώρας, τῆς ὑπὸ θεῶν πεπλασμένης.

8, 14. Κατακλυσμὸν] Ὅτι τρεῖς ἱστοροῦσι γενέσθαι κατακλυσμοὺς, πρῶτον τὸν ἐπὶ Ὠγυγος, ὃς ἦ
τῆς Ἀττικῆς βασιλεύς· δεύτερον τὸν ἐπὶ Δευκαλίω
νος, ὅτε καὶ τὰ κατὰ Θετταλίαν ὄρη διέστη, καὶ
ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντ
τρίτον τὸν ἐπὶ Δαρδάνου τοῦ Διὸς καὶ Ἠλέκτρ
τῆς Ἄτλαντος, ὃς Δάρδανος ἐβασίλευσε μετὰ τὸν

ταχλυσμὸν τῆς ἀντιπέραν Σαμοθρᾴκης ἠπείρου, διὰ σχεδιᾶς αὐτόσε κομισθείς.

8, 18. *Καί τινα*] *Πατίνεϊτ τοὔνομα.*

8, 28. *Φαέθων*] Ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι φασὶ τόν τε πρὸς Θεσσαλίαν καὶ τοὺς ἐκεί- νῃ τόπους κατακλυσμὸν, καὶ τὴν ἐν Αἰθιοπίᾳ ὑπὸ τοῦ Φαέθοντος ἐκπύρωσιν.

9, 4. *Παράλλαξις*] *Παράλλαξιν* τὴν ἀσυμμετρίαν τῶν ἐν γῇ πρὸς τὰς ἐκ τοῦ οὐρανοῦ ἥκουσας εἰ αὐτὴν ἀποῤῥοίας φησί. συμμέτρως γὰρ ἔχοντα διαμένει, ἀσυμμέτρως δὲ, φθείρεται. ἢ τὸν τῶν οὐρανίων ποικίλον σχηματισμόν. οὗτοι γάρ εἰσιν οἱ κατὰ οὐρανὸν περὶ γῆν ἰόντες, καὶ ἄλλοτε ἄλλα σχήματα δεικνύντες διὰ τὰς ποικίλας νοήσεις τῶν ψυχῶν. γράμματα γὰρ ἐκεῖνα τὰ σχήματά ἐστι, καὶ τύποι τινὲς δραστήριοι δι' ἐκείνους.

9, 9. *Λυόμενος*] Ἀττικῶς, ἀντὶ τοῦ, λύων τῆς ἀπορίας ὁ Νεῖλος ἡμᾶς.

9, 14. *Κατὰ τήνδε χώραν*] κατὰ τὴν ἄνω Αἴγυπτον δηλονότι. κατὰ γὰρ τὴν κάτω, ἣν ἔργον τοῦ ποταμοῦ φησιν Ἀριστοτέλης, ὄμβροι εἰώθασι γίνεσθαι. ἐπανιέναι δὲ λέγει, οὐ τὸ κάτωθεν ἀμβλυσθαίνειν, ἀλλὰ τὸ ὕδωρ ἀλλαχόθεν αὐξόμενον ἀνωτέρω τῆς γῆς χωρεῖν, ὑδάτων καταῤῥηγνυμένων εἰς τὸν Νεῖλον ἐξ ἄλλων τόπων, τῶν κατὰ τὰ Σεληναῖα ὄρη, ἀφ' ὧν αἱ τούτων πηγαὶ ἐκ τῆς γιγνομένης ἐν αὐτοῖς πιλήσεως τῶν νεφῶν ὑπὸ τῶν Ἐτησίων ἀνέμων, ὡς Θεόφραστός φησι. ταῦτα δὲ τὰ ὄρη ὑψηλότατά ἐστι.

9, 22. *Διαφορὰν ἔχον*] ἀντὶ τοῦ, παραδόξως ἐκβεβηκός.

9, 26. *Πάλιν δὲ εἰωθότων*] Ὅτι κατά τινας ἐπιτελοῦνται περιφορὰς καὶ αἱ τοιαῦται φθοραί, ἐχούσας τινὰ καὶ αὐτὰς ἀκολουθίαν πρὸς τὴν ὅλην τοῦ θειου γεννητοῦ περίοδον.

10, 26. *Γῆς τε καὶ Ἡφαίστου*] Ζεὺς Μήτιδι συνελθών, καὶ γενομένην ἔγκυον καταπίνει, ἐπείπερ ἔλεγε παῖδα γεννήσειν μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γεννᾶσθαι κόρην, ὃς δυναστεύσει οὐρανοῦ. ὡς δ᾽ ὁ καιρὸς τῆς ταύτης ἐνέστη γεννήσεως, δεῖται Ἡφαίστου πρὸς τοῦτο συνεργοῦ, ὡς κατὰ τῆς κεφαλῆς πλήξειεν αὐτόν· ἐπὶ ταύτης γὰρ ἐκυοφόρει τὸ ἔμβρυον. ὁ δὲ οὐκ ἄλλως ὑπακούσας κατένευσεν, εἰ μὴ τῇ γεννωμένῃ συγχωρηθείη συνελθεῖν εἰς εὐνήν. ὑποστάντος δὲ τοῦ Διός, πελέκει τούτου τὴν κεφαλὴν Ἥφαιστος πλήττει. καὶ γεννᾶται μὲν οὕτως ἐξ αὐτῆς Ἀθηνᾶ. ἐπιδιώκων δὲ αὐτὴν Ἥφαιστος, ἀποσπερμαίνει μὲν εἰς τὸν ταύτης μηρόν. ἡ δὲ λαβοῦσα ἔριον, τὸ σπέρμα ἐξέμαξεν, ἔῤῥιψέ τε εἰς γῆν. καὶ οὕτως ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς δρακοντόπους ἄνθρωπος ἐγένετο, Ἐριχθόνιος τοὔνομα. τοῦτ᾽ οὖν ἐνταῦθά φησιν, ὅτι Ἀθηναῖοι τοῦτον λέγουσι γενέσθαι παρ᾽ αὐτοῖς αὐτόχθονα.

11, 5. *Παραδείγματα*] Παραδείγματα νῦν, φησι Πρόκλος, τὰς εἰκόνας καλεῖ, ἐπείπερ αὗται γνονται παραδείγματα τῶν ἀναπεμπομένων, καὶ αὐτῶν τὰ πρῶτα γιγνώσκουσι.

11, 22. *Μαθήματα*] γεωμετρία, ἀστρονομία, λογιστική, ἀριθμητική, καὶ αἱ ταύταις συγγενεῖς.

12, 9. *Εὐρώπην*] Εὐρώπη κέκληται ἀπὸ Εὐρώπης, τῆς Ἀγήνορος, ἢ Φοίνικος, ἢ Τιτυοῦ. Ἀσία δὲ, ἀπὸ Ἀσίας, τῆς Οὐρανοῦ καὶ Γῆς. Λιβύη δὲ, ἀπὸ Λιβύης, τῆς Ἐπάφου, βασιλέως Αἰγύπτου, καὶ Μέμφεως, τῆς Νείλου. οἱ δὲ, Ἀμφιῤῥόης.

12, 10. *Ἀτλαντικοῦ πελάγους*] Τὸν Ἡρακλέα, λόγος, πολλὰς ἀβάτους διαπορευθέντα, εἰς τὸν Ἄτλαντα, τὸ ὄρος, ἐξ οὗ καὶ τὸ πέλαγος ὠνόμασται, ἐλθεῖν· ὃ ἐξ Ἄτλαντος, τοῦ Ποσειδῶνος καὶ Κλειτοῦς, καλεῖται, ὃ διὰ τὸ ὕψος αὐτοῦ φέρεσθαί φασιν τὸν οὐρανόν. καὶ γὰρ τοῦ αἰθέρος αὐτοῦ, λέγει Μάρκελλος, τὴν τοῦδε ψαύειν κορυφὴν, καὶ σκιὰν ἐκπέμπειν μέχρι πεντακισχιλίων σταδίων. ἀπὸ γὰρ θ' ὥρας ἡμερινῆς κρύπτεσθαι τὸν ἥλιον ὑπ' αὐτοῦ μέχρι τελέας καταδύσεως. καὶ ὁ Ἄθως ἐπὶ ἑπτακοσίους σταδίους ἕως Λήμνου σκιάζει. Πτολεμαῖος δὲ, τὰ Σεληναῖα ὄρη τὸ ὕψος ἄπλετον ἔχειν φησί. καὶ Ἀριστοτέλης τοῦ Καυκάσου τὴν κορυφὴν τὸ τρίτον μετὰ δυσμὰς, καὶ τὸ τρίτον πρὸ ἀνατολῶν μέρος τῆς νυκτὸς ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καταυγάζεσθαι.

12, 13. *Ἡρακλέους στήλας*] Ἡρακλῆς ἧκε μὲν εἰς Ἐρύθειαν, ἣ νῆσός ἐστιν Ὠκεανοῦ κειμένη πλησίον, ἣ νῦν Γάδειρα καλεῖται. ἐπὶ δὲ τῷ τὰς βοῦς ἀγαγεῖν Γηρυόνου, τοῦ Χρυσάορος καὶ Καλλιῤῥόης, τῆς Ὠκεανοῦ, ὃς ἦν τρία σώματα ἔχων συμφυέντα εἰς ἓν ἀπὸ λαγόνος τε καὶ μηρῶν. εἶχε δὲ βοῦς φοινικὰς,

βούκολον Εὐρυτίωνα, κύνα φύλακα Ὄρθον δικέφαλον, τὸν Ἐχίδνης καὶ Τυφῶνος. δι' Εὐρώπης οὖν πορευθεὶς, Λιβύης ἐπέβη, καὶ παρελθὼν Ταρτησσὸν, ἵστησι μὲν σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας. ἐλαύνει δὲ πρὸς Εὐρυσθέα, τὸν Τίρυνθος βασιλέα, τὰς βοῦς, ᾗ προσετάγη ὑπ' αὐτοῦ.

12, 13. Ἡ δὲ νῆσος] Ὅτι μὲν ἐγένετο τοιαύτη τις νῆσος καὶ τηλικαύτη, δηλοῦσί τινες τῶν ἱστορούντων τὰ περὶ τῆς ἔξω θαλάσσης. εἶναι γὰρ καὶ τοῖς αὐτῶν χρόνοις ἑπτὰ μὲν νήσους ἐν ἐκείνῳ τῷ πελάγει Περσεφόνης ἱερὰς, τρεῖς δὲ ἄλλας ἀπλέτους, τὴν μὲν Πλούτωνος, τὴν δὲ Ἄμμωνος, μέσην δὲ τούτων ἄλλην Ποσειδῶνος χιλίων σταδίων μέγεθος, καὶ τοὺς οἰκοῦντας ἐν αὐτῇ μνήμην ἀπὸ τῶν προγόνων διασώζειν περὶ τῆς Ἀτλαντίδος, ὄντως γενομένης νήσου ἐκεῖ παμμεγεθεστάτης, ἣν ἐπὶ πολλὰς περιόδους δυναστεῦσαι πασῶν τῶν ἐν τῷ Ἀτλαντικῷ πελάγει νήσων, Ποσειδῶνος καὶ αὐτὴν οὖσαν ἱεράν. ταῦτα μὲν οὖν Μάρκελλος ἐν τοῖς Αἰθιοπικοῖς γέγραφεν, ἡμεῖς δὲ ἀπὸ τῶν Πρόκλου ἐξελόντες παρεθέμεθα.

12, 22. Δύναμις βασιλέων] Δέκα γὰρ βασιλεῖς ἦσαν ἐν αὐτῇ, τεχθέντες δίδυμοι πεντάκις· καὶ τἆλλα δὴ τὰ ἐνταῦθα λεγόμενα ἐν τῷ Κριτίᾳ διαῤῥήδην ἱστόρηται. Ποσειδῶνος δὲ καὶ Κλειτοῦς οὗτοι, ὧν ὁ πρῶτος, ὡς Πρόκλος φησὶν, Ἄτλας ἐκαλεῖτο, ἐξ οὗ καὶ ἡ νῆσος ὠνόμασται.

12, 25. Πρὸς Αἴγυπτον] Αἴγυπτος κέκληται ἀπὸ Αἰγύπτου, τοῦ Βήλου καὶ Ἀγχιρόης, τῆς Νείλου,

τοῦ βασιλέως Αἰγυπτίων. τοῦτον ὁ πατὴρ ἐν Ἀραβίᾳ κατοικίζει. ὁ δὲ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν, ἀφ᾽ ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον.

12, 26. *Τυῤῥηνίας*] Τυῤῥηνία δὲ ἀπὸ Τυῤῥηνοῦ, τοῦ Ἄγρωνος, τοῦ Ἄτυος, τοῦ Λυδοῦ. καὶ δὴ καὶ τὸ Τυῤῥηνικὸν πέλαγος. οὗτος κατὰ χρησμὸν ἐκ Λυδίας ἀπάρας, εἰς τούσδε ἀφίκετο τοὺς τόπους, ἐκ Σαρδοῦς τε, τῆς αὐτοῦ γυναικὸς, ἀφ᾽ ἧς καὶ κατὰ Λυδίαν Σάρδεις, ἡ πόλις, καὶ ἡ ἀργυρόφλεψ νῆσος τὸ πρὶν Σαρδὼ νῦν ὀνομάζεται.

13, 11. *Σεισμῶν καὶ κατακλυσμῶν*] Ὅτι ὅπου ἅμα σεισμῷ γίνεται κατακλυσμὸς, κῦμα τούτου τοῦ πάθους αἴτιον. ὅταν γὰρ τὸ τὸν σεισμὸν ποιοῦν πνεῦμα μηδέπω ῥέον ὑπὸ γῆν, τὴν θάλασσαν ὑπό τινος ἐναντίου πνεύματος αὐτῷ κινουμένην, ἐξ ἐναντίας φερόμενον ἀπῶσαι μὲν εἰς τοὐπίσω μὴ δυνηθῇ, διὰ τὸν προωθοῦντα ἄνεμον αὐτὴν, ἱστᾷ δὲ καὶ ἐμποδίζον αὐτῆς τὴν πρόοδον, αἴτιον γίγνεται τοῦ πολλὴν ὠθουμένην ὑπὸ τοῦ ἐναντίου τούτῳ πνεύματος ἀθροισθῆναι· τότε δὴ, πολλῆς τῆς θαλάττης γενομένης διὰ τὸ ἀπ᾽ ἐναντίας ὠθοῦν, αὐτὸ μὲν ὑπὸ γῆν ἔδυ, τῆς ῥοῆς ἀθρόας ἐπιχυθείσης, καὶ ἐποίησε τὸν σεισμὸν, ἡ δὲ θάλασσα ἐπέκλυσε τὸν τόπον. τοῦτον γὰρ τὸν τρόπον καὶ περὶ Ἀχαίαν γενέσθαι τὸν σεισμὸν ἅμα καὶ τὴν τοῦ ὕδατος ἔφοδον, τοῦ ἐπικλύσαντος τὰς παραθαλασσίους πόλεις, Βοῦραν καὶ Ἑλίκην.

13, 16. *Κάρτα βαθέος*] Κάρτα, λίαν, μεγάλως.

13, 16-17. *Πήλου κάρτα βαθέος ἐμποδὼν ὄν-*

τος] Τοῦτο καὶ οἱ τοὺς ἐκείνῃ τόπους ἱστοροῦντες λέγουσιν, ὡς πάντα τεναγώδη τὸν ἐκεῖ εἶναι χῶρον. Τέναγος δέ ἐστιν ἰλύς τις ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ, καὶ βοτάνης ἐπιφαινομένης τούτῳ, ἢ πηλώδη πελάγη, ἢ διάβροχοι ἢ κάθυγροι τόποι.

26, 24. Ἐν τῷ χρόνῳ] ἔν τινι χρόνῳ.

48, 17. Πλοχάνων] Πλόχανόν ἐστι πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται.

82, 5. Λέμμα] Λέμμα, φλοιός, λέπισμα.

89, 27. Δρυόχων] Τὰ στηρίγματα τῆς πηγνυμένης νέως Δρυόχους φασί.

94, 9. Εὐρῶτος] σεσηπυίας ὑγρότητος.

94, 10. Σφακελίσαν] Σφακελισμός ἐστι σῆψις μυελοῦ, καὶ Σφάκελος, ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις. ὁ δὲ σπασμὸς οὗτος μετὰ φλεγμονῆς. ἰατροὶ δὲ, τὴν μελανίαν, ἢ τὴν σφοδρὰν ὀδύνην. ἔνιοι δὲ, τὴν τῶν ὀστέων σῆψιν. λέγεται δὲ καὶ ὁ σφυγμὸς, καὶ ὁ παλμός. ἀλλὰ καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος.

ΕΙΣ ΤΟΝ ΚΡΙΤΙΑΝ.

127, 18. Μελλητέον] ὑπερθετέον ἐστί.

128, 16. Ἀλλ' ἢ μάλιστα εὔστροφον ζῶον ἐκ πρύμνης ἀπευθύνοντες] Σημείωσαι τὸ ἐκ πρύμνης, οἶμαι, τὸ ἔνδοθεν.

130, 11. Ἰσθμὸν] Ἰσθμὸς, γῆ ἀμφιθάλασσος, καθ' ἣν ἡ Ἀχαΐα τῇ Πελοποννήσῳ συνάπτεται.

130, 12. Κιθαιρῶνος καὶ Πάρνηθος] Κιθαιρὼν,

ὄρος Βοιωτίας. *Πάρνησσος* δὲ, ὄρος μεταξὺ Ἀττικῆς καὶ Βοιωτίας, πλησίον Πανάκτου.

130, 13. *Ὠρωπίαν*] Ὠρωπὸς, πόλις Βοιωτίας.

130, 15. *Ἀσωπὸν*] Ἀσωπὸς, ποταμὸς Βοιωτίας.

131, 9. *Φελλέως*] Φελλεὺς, τόπος σκληρὸς ποσῶς καὶ πετρώδης, συνεργὴς δέ. οἱ δὲ, τὸν ἐξ ἐπιπολῆς πετρώδη.

131, 15. *Σᾶ*] Σᾶ, τὰ σῶα μονοσυλλάβως φασὶν Ἀττικοὶ, καὶ τὸν σῶον Σῶν, καὶ ἡ σώα Σᾶ παρ' αὐτοῖς.

132, 8. *Τὸν Ἠριδανὸν καὶ τὸν Ἰλισσὸν*] Ἠριδανὸς καὶ Ἰλισσὸς καὶ ἀλλαχοῦ μὲν, ἀλλ' οὗτοι ἐν τῇ Ἀττικῇ.

132, 10. *Πνύκα*] Πνὺξ, τόπος Ἀθήνησιν, ἐν ᾧ ἐκκλησίαι ἐγίγνοντο πάλαι μὲν πᾶσαι, ὕστερον δὲ ἅπαξ, ὅταν τὸν στρατηγὸν χειροτονῶσιν. ἐκλήθη δὲ οὕτως ἤτοι ἀπὸ τοῦ πυκνοῦσθαι τὸν ὄχλον ἐκεῖ, ἢ ἀπὸ τοῦ πυκνὰ εἶναι τὰ περὶ αὐτὴν οἰκήματα.

132, 10. *Λυκαβηττὸν*] Λυκαβηττὸς, ὄρος τῆς Ἀττικῆς. εἴρηται δὲ οὕτως διὰ τὸ λύκοις πληθύειν.

132, 19. *Ξυσσίτια*] τὰ δεῖπνα, ἃ κοινῇ ποιοῦνται Λακεδαιμόνιοι. καλεῖται δὲ καὶ Φιλίτια, ἐπεὶ φιλίας συναγωγά ἐστι.

133, 3. *Εὐκρὰς*] Εὐκρὰς, εὔκρατος, ἢ εὐκέφαλος, ὡς Εὐριπίδης Ἀντιόπῃ.

137, 4. *Ἀκροδρύων*] Ἀκρόδρυα κοινῶς οἱ τῶν δένδρων καρποί.

137, 5. *Μεταδόρπια*] ἐπίδειπνα.

137, 20. Τρίπλεθρον] Τὸ Πλέθρον ἐστὶ ποδῶν ξς' δίμοιρον.

137, 22. Σταδίων] Στάδιόν ἐστι μέρος τι μιλίου ἕβδομον τέσσαρες καὶ δέκατον. τὸ γὰρ μίλιόν ἐστι ζς' στάδια.

138, 29. Ἐν ᾧ κατ' ἀρχὰς ἐφίτυσαν] Φιτῦσαι, ἐπὶ πατρὸς, ἐπὶ δὲ μητρὸς Γεννῆσαι. καὶ Φιτύων, ὁ γεννῶν, καὶ τὸ γέννημα, Φίτυ, ὡς Εὔπολις Αὐτολύκῳ·

Ἀτὰρ ἤγαγες καινὸν φίτυ τῶν βοῶν.

ΕΙΣ ΤΟΝ ΠΑΡΜΕΝΙΔΗΝ.

147, 1. Κλαζομενῶν] Κλαζομεναὶ, πόλις Ἰωνίας.

148, 13. Μελίτῃ] Μελίτη, δῆμος Κεκροπίδος.

148, 22. Παναθήναια] Ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγὼν ἐτέθη μὲν πρῶτον ὑπὸ Ἐριχθονίου, τοῦ Ἡφαίστου καὶ τῆς Ἀθήνης· ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια, οὐ πρεσβύτερος, καὶ ἀγένειος ἀνήρ. τῷ δὲ νικῶντι δίδωσιν ἔλαιον ἐν ἀμφορεῦσι, καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ.

148, 28. Παιδικά] Καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀῤῥένων ἐρωμένων ἡ λέξις εὕρηται. Κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων καὶ ἐπὶ πάντων τῶν σπουδαζομένων πάνυ· ἢ καὶ ἐν Φαίδρῳ λέγεται· ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην, ἐρεσχελῶν σε. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων.

149, 1. *Κεραμεικῷ*] Τόπος Ἀθήνησιν, ἔνθα καὶ αἱ πόρναι προειστήκεισαν. εἰσὶ δὲ δύο Κεραμεικοὶ, ὁ μὲν ἔξω τείχους, ὁ δὲ ἐντός.

153, 4. *Ἄγασθαι*] θαυμάζεσθαι.

153, 26. *Ἔθραξε*] ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν.

154, 23. *Ἡδέως*] ἀντὶ τῶν κατὰ φύσιν νῦν. σημαίνει δὲ ἔστιν ὅτε καὶ τὸ εὐήθως, καὶ τὸ γελοίως.

157, 22. *Ἀπίθανος*] ἀντὶ τοῦ, δύσκολος, καὶ μὴ ῥᾳδίως πειθόμενος.

159, 7. *Δεινότερον*] Τὸ Δεινότερον οὐχ ὡς ἰσχυρότερον ἄπορον· ὡς εἰώθασι Δεινοὺς λέγειν τοὺς κρατοῦντας τῇ δυνάμει τῶν λόγων· ἀλλ' ὡς μείζονος δείματος καὶ εὐλαβείας τοῖς νοῦν ἔχουσιν ἄξιον.

162, 21. *Ἄλλως τε καὶ*] μάλιστα.

163, 2. *Ἰβυκείου ἵππου*] Τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν· Ἔρως αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακερὰ ὄμμασι δερκόμενος, κηλήμασι παντοδαποῖς εἰς ἄπειρα δίκτυα Κύπριδος βάλλει. Ἦ μὰν τρομέω νιν ἐπερχόμενον, ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ ἀσκῶν σὺν ὄχεσι θοοῖς εἰς ἅμιλλαν ἔβα.

163, 8. *Διανεῦσαι*] περαιωθῆναι.

168, 13. *Τὸ αὐτὸ εἶναι*] Γράφεται καὶ, αὐτῷ αὐτὸ εἶναι.

200, 19. *Ἀνήσει*] ἀφήσει, ἢ ἀναπείσει.

ΕΙΣ ΤΟ ΣΥΜΠΟΣΙΟΝ.

208, 3. *Φαληρόθεν*] *Φάληρον*, δῆμος *Αἰαντίδ*
ἐξ οὗ *Ἀπολλόδωρος*.

209, 27. *Κυδαθηναιεὺς*] *Κυδαθήναιον*, δῆμ
ἐν ἄστει τῆς *Πανδιονίδος* φυλῆς. καλεῖται δὲ κ
Κύδαθον· ἐξ οὗ *Ἀριστόδημος*.

211, 4. *Βλαύτας*] ὑποδήματα. οἱ δὲ, *Βλαυτί*
σάνδαλα ἰσχνά.

211, 14. *Αὐτόματοι δ' ἀγαθοὶ*]

Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴα
ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ἐπ
στη τῷ Κήϋκι, ὅτι ἑστιᾶτο. *Κρατῖνος* δὲ ἐν *Πυλα*
μεταλλάξας αὐτὴν, γράφει οὕτως·

Οἵδ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς λόγος,
Αὐτομάτους ἀγαθοὺς ἰέναι κομψῶν ἐπὶ δαῖ
Θεατῶν.

καὶ *Εὔπολις* ἐν *Χρυσῷ γένει*.

214, 15. *Ῥᾷστα*] τὸ ἥδιστα ἐνταῦθα σημαίνει

215, 8. *Μυῤῥινούσιον*] *Μυῤῥινοῦς*, δῆμος *Α*
γηΐδος, ἀφ' ἧς ὁ *Φαῖδρος*.

215, 27. *Παιᾶνας*] ἢ τοὺς λεγομένους *Παιᾶνα*
ὕμνους εἰς *Ἀπόλλωνα*, ἐπὶ καταπαύσει λοιμοῦ.
Παιήονα, τὸν τῶν θεῶν ἰατρόν. ἢ *Παιῶνας*, ὡς νῦ
ᾠδὰς ἐπὶ εὐτυχίᾳ καὶ νίκῃ, διὰ τοῦ ὦμέγα, ἐξ
καὶ *Παιωνίζειν*.

218, 28. *Ἄλκηστις*] Ἡ περὶ τῆς *Ἀλκήστιδος* ὑπ
θεσις τοιαύτη τίς ἐστιν· *Ἀπόλλων* ᾐτήσατο πα
τῶν *Μοιρῶν*, ὅπως ὁ *Ἄδμητος*, τελευτᾷν μέλλω
παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον,

ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις, ἡ γυνὴ τοῦ Ἀδμήτου, ἐπέδωκεν ἑαυτὴν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης, Ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τά περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα· τὸν δὲ Ἄδμητον ἠξίου, λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἔδειξεν ἣν ἐπένθει. Ἄλλως. Ἄλκηστις, ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς, καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

224, 16. Ἀφροδίσιον] Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. Μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος, λέγων·

Ἐκ τοῦδ' ὅρκον ἔθηκεν ἀμείνονα ἀνθρώποισι,
Νοσφιδίων ἔργων περὶ Κύπριδος Ἀφροδισίων.

καὶ Πλάτων ἐν Συμποσίῳ.

225, 14. Βασανίζειν] δοκιμάζειν, διακρίνειν. μετενήνεκται δὲ ἀπὸ τῆς Λυδῆς λίθου, δι' ἧς ὁ χρυσὸς βασανίζεται, τουτέστι, δοκιμάζεται.

227, 14. Ἐκ τοῦ παραχρῆμα] ἐκ τοῦ αὐτομάτου, ἐκ τοῦ προχείρου.

227, 27. Ἡ λύγξ] Τὸ τοῦ λυγμοῦ σύμπτωμα

ἐπιγίνεται τῷ στομάχῳ διὰ πλήρωσιν, ἢ κένωσιν, ἢ ψῦξιν· ἐνίοτε δὲ καὶ διὰ δῆξιν δριμέων ὑγρῶν καὶ φαρμακωδῶν ταῖς ποιότησιν· οὓς ἐὰν ἐμῶσιν, αὐτίκα παύονται λύζοντες. Πολλοὶ καὶ τὸ διὰ τριῶν πεπερῶν πιόντες, ἢ αὐτὸ τὸ πέπερι, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, αὐτίκα λύζουσι. καὶ τροφῆς δὲ διαφθαρείσης εἰς δακνώδη ποιότητα, λύζουσιν ἔνιοι· καὶ ῥιγώσαντες δὲ τὸ στόμα τῆς κοιλίας, ἔνιοι λύζουσι. καὶ μάλιστά γε τοῖς παισὶ συμβαίνει λύζειν συνεχῶς ἐπὶ τῇ τοῦ στομάχου ψύξει, καὶ τῇ τῆς τροφῆς διαφθορᾷ. Γίνεται δὲ λυγμὸς καὶ ἐν πυρετοῖς, καὶ μάλιστα φλεγμαίνοντος στομάχου, ἢ ἑτέρου σπλάγχνου. ψύξεως μὲν οὖν προηγησαμένης τοῦ λυγμοῦ, ἐπιτίθει τῷ στομάχῳ ἐν ἐρίῳ ἔλαιον, ἐν ᾧ ἑψῶμεν κύμινον, πήγανον, ἀψίνθιον· δίδου δὲ ποτὸν πήγανον μετ' οἴνου, ἢ σεύτλου ἑψημένου μελικράτῳ. καλὸν δὲ καὶ τὸ σκιλλητικὸν ὄξος καταρροφούμενον. τὸ δὲ καστόρειον καὶ τοῖς διὰ ψύξιν λύζουσι τελείοις δίδου, καὶ τοῖς ἐπὶ πλήθει χυμῶν τοῦτο πάσχουσι, δι' ὀξυκράτου κεράτια ιη'. Ὅταν δὲ ὑπὸ πληρώσεως λυγμὸς γένηται, ἔμετος τούτοις ἴαμα, καὶ τῶν ἄκρων τρίψις, καὶ πνεύματος κατοχή.

227, 28. Ἀνακογχυλίασον] Ἀνακογχυλιάσαι, τὸ κλῦσαι τὴν φάρυγγα, ὃ λέγομεν Ἀναγαργαρίσαι.

228, 2-3. Οὐκ ἂν φθάνοις λέγων, ἐγὼ δὲ ταῦτα ποιήσω] Ἐπὶ τῶν εἰς πέρας ἀγόντων ἀξίωσιν τινός, μήπω πέρας ἐπιθέντος αὐτῇ.

228, 12. Ὡς ἔπος εἰπεῖν] ὡς φαίνεται, ὡς ἐν λόγῳ εἰπεῖν. τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς,

καὶ, ὡς εἰπεῖν ἔπος, καὶ, ὡς ἔπος εἰπεῖν, καὶ, ὡς ἔπος φάναι, καὶ, ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον, ὡς φάναι, καὶ, ὡς εἰπεῖν. σημαίνει δὲ τὸ αὐτό. οἱ δὲ φασὶν, ἀντὶ τοῦ, ὡς φαίνεται, κεῖσθαι, ἢ ἀντὶ τοῦ, ὡς ἐν λόγῳ εἰπεῖν.

228, 17. *Πρεσβεύωμεν*] προτιμῶμεν, μεγαλύνωμεν.

234, 4. *Κυβιστῶσι*] Κυβιστὴς, ὁ ὀρχηστὴς, καὶ Κυβιστᾷν, τὸ ὀρχεῖσθαι.

235, 1. *Ἀσκωλιάζοντες*] Ἀσκωλιάζειν κυρίως μὲν τὸ ἐπὶ τοὺς ἀσκοὺς ἅλλεσθαι ἀληλιμμένους, ἐφ' οὓς ἐπήδων γελοίου ἕνεκα. τινὲς δὲ, καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἁλλομένων. ἤδη δὲ τιθέασι καὶ ἐπὶ τοῦ ἅλλεσθαι τὸ νεῦρον τῶν ποδῶν ἀνέχοντα, ἢ, ὡς νῦν, ἐπὶ σκέλους ἑνὸς βαίνοντα. ἔστι δὲ καὶ τὸ χωλαίνειν.

236, 13. *Ψῆτται*] Ἰχθύδιόν τι τῶν πλατέων ἡ Ψῆττα, ἐκ δύο δερμάτων συγκεῖσθαι τὴν ἰδέαν δοκοῦν, ὃ τινὲς σανδάλιον καλοῦσιν· οἱ δὲ, βούγλωσσον. κακῶς δέ· ἄλλα γάρ ἐστι ταῦτα.

238, 19. *Λίσπαι*] αἱ λεῖαι, καὶ ἐκτετριμμέναι, καὶ ἄπυγοι λίαν. καὶ οἱ διαπεπρισμένοι ἀστράγαλοι. οἵ, τε Ἀθηναῖοι Λίσποι καλοῦνται, τῷ ἐκ τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας αὐτοὺς ἀπογλούτους εἶναι.

240, 6. *Ὀκρίβαντα*] τὸ λόγιον, ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ Κιλλίβαντα τρισκελῆ φασὶν, ἐφ' οὗ ἵστανται οἱ ὑποκριταὶ, καὶ τὰ ἐκ μετεώρου λέγουσιν.

241, 25. Ὅμοιον ὁμοίῳ] Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον, ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων, καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων, ἐξ Ὁμήρου λαβοῦσα τὴν ἀρχήν. Μέμνηται δὲ αὐτῆς Πλάτων καὶ ἐν τῷ Λύσιδι, καὶ ἐν Συμποσίῳ, καὶ Μένανδρος Σικυωνίᾳ.

242, 11. Πίλναται] προσπελάζει, προσεγγίζει.

245, 1. Ὕπνον τ' ἐνὶ κήδει] Γράφεται καὶ, ὕπνον νηκηδεῖ.

245, 24. Ἀδεὲς πάλαι δέος] Ἀδεὲς δέος, ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων. ὅμοιον τούτῳ καὶ τὸ Ψοφοδεὴς ἄνθρωπος.

254, 2. Ἴτης] ἴστωρ, ἐπιστήμων, ὡς ἐνταῦθα. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἰταμοῦ καὶ θρασέως.

255, 6. Τέλος] Τὸ Τέλος οἱ Ἀττικοὶ τάττουσι καὶ ἀντὶ τάξεως, καὶ τάγματος, καὶ δαπάνης· ἔνθεν ὁ Πολυτελὴς, καὶ Εὐτελὴς, καὶ ὁ Συντελής. καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ Προτέλεια. λέγεται καὶ ἀντὶ ἀρχῆς. Θουκυδίδης· προσελθὼν δὲ τοῖς τέλεσιν. ὡσεὶ ἔφη, τοῖς ἐν ἀρχῇ οὖσι. σημαίνει καὶ τὸ ἀποτέλεσμα τῶν πραγμάτων. καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελώνων χρέος Τέλος καλεῖται.

256, 16. Ἓν μόνον] Γράφεται καὶ, ἓν μόριον.

258, 11. Συσπειρᾶται] συστρέφεται.

258, 12. Ἀνείλεται] ἀνειλεῖται.

258, 14. Σπαργῶντι] ὁρμῶντι, ὀργῶντι, ταραττομένῳ, ἢ ἀνθοῦντι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μασθῶν πεπληρωμένων γάλακτος.

261, 4. Κόδρον] Κόδρος ἦν ἀπὸ Δευκαλίωνος

ὥς φησιν Ἑλλάνικος. γίνεται γὰρ Δευκαλίωνος μὲν καὶ Πύῤῥας, ὥς δὲ τινὲς, Διὸς καὶ Πύῤῥας, Ἕλλην· Ἕλληνος δὲ καὶ Ὀθρηΐδος, Ξοῦθος, Αἴολος, Δῶρος, Ξενοπάτρα· Αἰόλου δὲ καὶ Ἴφιδος τῆς Πηνειοῦ, Σαλμωνεύς· Σαλμωνέως δὲ καὶ Ἀλκιδίκης, Τυρώ, ἧς καὶ Ποσειδῶνος, Νηλεύς· Νηλέως δὲ καὶ Χλωρίδος, Περικλύμενος· Περικλυμένου δὲ καὶ Πεισιδίκης, Βῶρος· Βώρου δὲ καὶ Λυσιδίκης, Πένθιλος· Πενθίλου δὲ καὶ Ἀγχιρόης Ἀνδρόπομπος· Ἀνδροπόμπου δὲ καὶ Ἡνιόχης, τῆς Ἀρμενίου, τοῦ Ζευξίππου, τοῦ Εὐμήλου, τοῦ Ἀδμήτου, Μέλανθος. οὗτος, Ἡρακλειδῶν ἐπιόντων, ἐκ Μεσσήνης εἰς Ἀθήνας ἀνεχώρησε· καὶ αὐτῷ γίνεται παῖς Κόδρος. χρόνῳ δὲ ὕστερον γενομένης τοῖς Βοιωτοῖς ἀμφισβητήσεως πρὸς Ἀθηναίους, ὥς μὲν τινὲς, περὶ Οἰνόης καὶ Πανάκτου, ὥς δὲ τινὲς, περὶ Μελαινῶν, καὶ τῶν Βοιωτῶν ἀξιούντων τοὺς βασιλέας προκινδυνεῦσαι περὶ τῆς χώρας εἰς μονομαχίαν καταστάντες, Ξάνθος μὲν, ὁ τῶν Βοιωτῶν βασιλεὺς, ὑποδέχεται· Θυμοίτης δὲ, ὁ τῶν Ἀθηναίων, ἀρνεῖται, λέγων, τῷ βουλομένῳ μονομαχεῖν τῆς ἀρχῆς παραχωρεῖν. Μέλανθος δὲ ὑποστὰς τὸν κίνδυνον ἐπὶ τὸ βασιλεῦσαι τῶν Ἀθηναίων αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ, ὁπλισάμενος προῄει, καὶ πλησίον τοῦ Ξάνθου γενόμενος εἶπεν· ἀδικεῖς, ὦ Ξάνθε, σὺν ἑτέρῳ ἐπ' ἐμὲ ἥκων, καὶ οὐ μόνος, ὥς ὡμολόγητο. Ξάνθος δὲ, ταῦτα ἀκούσας, μετεστράφη, θεάσασθαι βουλόμενος, εἴ τις αὐτῷ ἑπόμενος εἴη. καὶ μεταστραφέντα βαλὼν αὐτὸν ἀπέκτεινε, καὶ βασιλεὺς τῆς Ἀττικῆς ἐγένετο· ὅθεν καὶ τοῖς

Ἀθηναίοις κρατήσασι τῆς χώρας ἔδοξεν ἑορτὴν ἄγειν, ἣν πάλαι μὲν Ἀπατηνόρια, ὕστερον δὲ Ἀπατούρια ἐκάλουν, ὡς ἀπὸ τῆς γενομένης ἀπάτης. Μελάνθου δὲ Κόδρος γενόμενος, ἐκδέχεται τὴν βασιλείαν· ὃς καὶ ὑπὲρ τῆς πατρίδος ἀπέθανε τρόπῳ τοιῷδε· Πολέμου τοῖς Δωριεῦσιν ὄντος πρὸς Ἀθηναίους, ἔχρησεν ὁ θεὸς τοῖς Δωριεῦσιν, αἱρήσειν τὰς Ἀθήνας, εἰ Κόδρον τὸν βασιλέα μὴ φονεύσωσι. γνοὺς δὲ τοῦτο ὁ Κόδρος, στείλας ἑαυτὸν ἐν εὐτελεῖ σκευῇ ὡς ξυλιστὴν, καὶ δρέπανον λαβὼν, ἐπὶ τὸν χάρακα τῶν πολεμίων προῄει. δύο δὲ αὐτὸν ἀπαντησάντων πολεμίων, τὸν μὲν ἕνα πατάξας κατέβαλεν· ὑπὸ δὲ τοῦ ἑτέρου ἀγνοηθεὶς, ὅστις ἦν, πληγεὶς ἀπέθανε, καταλιπὼν τὴν ἀρχὴν Μέδοντι τῷ πρεσβυτέρῳ τῶν παίδων. ὁ δὲ νεώτερος αὐτοῦ παῖς Νηλεὺς τῆς δωδεκαπόλεως Ἰωνίας κτιστὴς ἐγένετο· ἀφ᾽ οὗ φασιν Ἀθηναίοις τὴν τῶν Κοδριδῶν εὐγένειαν εἰς παροιμίαν περιστῆναι, Εὐγενέστερος Κόδρου, ἐπὶ τῶν πάνυ εὐγενῶν.

267, 23. Τουτὶ τί ἦν] Γράφεται καὶ, τοῦτ᾽ εἰπεῖν.

268, 26. Ψυκτῆρα] Ψυκτὴρ, σκεῦος, ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ.

268, 27. Κοτύλας] Τρίτον μέρος ἡ Κοτύλη τῆς χοίνικος.

270, 20. Σιληνοῖς] Σιληνοὶ, Διονύσου χορευταὶ, παρὰ τὸ σιλλαίνειν, ὅ ἐστι σκώπτειν, λεγόμενοι, παρὰ τοὺς πότους.

270, 24. Σατύρῳ] Σάτυροι, Διονύσου ὀπαδοὶ καὶ οὗτοι, οἱ διὰ τὸ ἐν ὄρεσιν οἰκεῖν ἀλουτοῦντες, τράγων σκέλη καὶ τρίχας νομιζόμενοι ἔχειν παραδέδονται, καὶ ταύτῃ καλεῖσθαι ἀπὸ τοῦ σεσηρέναι τῷ οἴνῳ, τουτέστι, κεχηνέναι· φίλοινοι γάρ εἰσι. Μαρσύας δὲ, αὐλητὴς, Ὀλύμπου υἱὸς, ὃς τοὺς αὐλοὺς Ἀθηνᾶς ῥιψάσης, διὰ τὸ ἐνασχημονεῖν αὐτοῖς, ἀνελόμενος, ἤρισεν Ἀπόλλωνι περὶ μουσικῆς, καὶ ἡττήθη, καὶ ποινὴν δέδωκε, τὸ δέρμα δαρείς· ἀφ' οὗπερ αἵματος ἔῤῥευσε ποταμὸς, ὁ ἐξ αὐτοῦ ὕστερον Μαρσύας κληθείς.

271, 16. Κομιδῇ] κυρίως μὲν τὸ ἐπιμελῶς· ὅθεν καὶ Ὀρεοκόμος, καὶ Γεροντοκόμος. ἰσοδυναμεῖ δὲ καὶ τῷ σφόδρα καὶ τελέως· κομιδῇ σμικρὰ, σφόδρα σμικρά.

271, 19. Κορυβαντιώντων] ἐνθουσιώντων, ἤ τινα ὄρχησιν ἐμμανῆ ὀρχουμένων, ἀπὸ τῶν Κορυβάντων, οἳ καὶ τροφεῖς, καὶ φύλακες, καὶ διδάσκαλοι τοῦ Διὸς εἶναι μυθολογοῦνται. τινὲς δὲ τοὺς αὐτοὺς τοῖς Κουρῆσιν εἶναι φασίν· εἶναι δὲ καὶ τῆς Ῥέας ὀπαδοὺς, ἀπὸ τῶν τοῦ Διὸς δακρύων γεγενημένους· ὧν ἀριθμὸν οἱ μὲν θ', οἱ δὲ ι' λέγουσι.

273, 6. Εἰρωνευόμενος] ὑποκρινόμενος, χλευάζων.

274, 3. Ἤνυτον] ἤνυον, ἐτέλουν.

274, 19. Οἶνος] Οἶνος καὶ ἀλήθεια, ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων. Ἔστι δὲ ᾄσματος Ἀλκαίου ἀρχή·

Οἶνος, ὦ φίλε παῖ, καὶ ἀλήθεια.

καὶ Θεόκριτος. τινὲς δὲ φασὶν, ὅτι πρὶν οἶνον εὑρε-

θῆναι, ὕδωρ κατὰ τῶν ἱερῶν ἔσπενδον, καθάπερ νῦν τὰ νηφάλια· οἴνου δὲ φανέντος οὕτω θαυμάσαι τοὺς ἀνθρώπους, καὶ θείαν ἡγήσασθαι τὴν φύσιν, ὡς καὶ τὰς συνθήκας παρὰ τὸν οἶνον γενομένας νομίσαι δεῖν εἶναι κυρίας, καὶ μὴ τολμᾶν παραβαίνειν, ἀλλὰ κατὰ πάντας τρόπους ἀφαιρεῖν τὸ ψεῦδος ἀπὸ τῶν παρὰ τὸν οἶνον συνθηκῶν. Ὁμοία δὲ ταύτης καὶ αὕτη· Τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐπὶ τῆς γλώσσης ἐστὶ τοῦ μεθύοντος.

276, 23. *Τρίβωνα*] *Τρίβων ἐστὶ στολή τις, ἔχουσα σημεῖα, ὡς γραμμάτια. Τριβώνιον δὲ, ἱμάτιον παλαιὸν καὶ τετριμμένον.*

277, 3. *Καταδεδαρθηκὼς*] *καθυπνωκώς.*

277, 18. *Ποτιδαίαν*] *Ποτίδαια, πόλις Θρᾴκης ἐν Μακεδονίᾳ, κτίσμα Κορινθίων.*

278, 5. *Πίλους*] *Πῖλος, ἱμάτιον ἐξ ἐρίων πιλήσεως γινόμενον, εἰς ὑετῶν καὶ χειμώνων ἄμυναν. Ἀρνακίδες δὲ, ἀρνῶν κώδια.*

278, 19. *Χαμεύνια*] *ταπεινὰ κλινίδια.*

279, 6. *Δηλίου*] *Δήλιον, χωρίον τῆς Βοιωτίας.*

279, 24. *Προτροπάδην*] *προθύμως, ἀμεταστρεπτὶ, μετὰ προτροπῆς, ἢ εἰς τοὔμπροσθεν.*

280, 16. *Κανθηλίους*] *τοὺς βραδεῖς νοῆσαι, ἢ ἀφυεῖς· ἀπὸ Κάνθωνος, ὅς ἐστιν ὄνος, εἰρημένοι· ὃς πάλιν ἀπὸ τῶν Κανθηλίων, τῶν ἐπιτιθεμένων αὐτῷ ἐπικαμπῶν ξύλων, τουτέστι, σαγμάτων, ὀνομάζεται οὕτως.*

280, 17. *Βυρσοδέψας*] *τοὺς τὰς βύρσας ἐργαζομένους καὶ μαλάττοντας.*

281, 6. Ὥσπερ νήπιον, παθόντα γνῶναι]

Ῥεχθὲν δέ τε νήπιος ἔγνω,

ἐπὶ τῶν μετὰ τὸ παθεῖν συνιέντων τὸ ἁμάρτημα. Ἐπὶ τὸ αὐτὸ ἑτέρα παροιμία· Ὁ ἁλιεὺς πληγεὶς, νοῦν φύσει. φασὶ γὰρ, ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθὺν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα, ὑπὸ σκορπίου πληγῆναι· καὶ εἶπε πληγείς· νοῦν φύσεις· καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. Κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ. ἔστι καὶ τρίτη ὁμοία· Ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς. ἐλέχθη δὲ ἐπὶ Τίμωνος τοῦ μισανθρώπου, μηκέτι προσιεμένου τοὺς κόλακας.

Stanford University Libraries
3 6105 018 742 705

STANFORD UNIVERSITY LIBRARIES
STANFORD AUXILIARY LIBRARY
STANFORD, CALIFORNIA 94305-6004
(650) 723-9201
salcirc@sulmail.stanford.edu
All books are subject to recall.
DATE DUE